23 Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης Καὶ ἀνήχθησαν. πλεόν-
των δὲ αὐτῶν ἀφύπνωσεν καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν
24 λίμνην καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον. προσελθόντες
δὲ διήγειραν αὐτὸν λέγοντες Ἐπιστάτα ἐπιστάτα ἀπολλύμεθα
ὁ δὲ ἐγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδα-
25 τος, καὶ ἐπαύσαντο καὶ ἐγένετο γαλήνη. εἶπεν δὲ αὐτοῖς Ποῦ
ἐστιν ἡ πίστις ὑμῶν φοβηθέντες δὲ ἐθαύμασαν λέγοντες πρὸς
ἀλλήλους Τίς ἄρα οὗτός ἐστιν ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει
26 καὶ τῷ ὕδατι καὶ ὑπακούουσιν αὐτῷ. Καὶ κατέπλευσαν εἰς
τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας.
27 ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς
πόλεως ὃς εἶχέν δαιμόνια ἐκ χρόνων ἱκανῶν καὶ ἱμάτιον οὐκ
ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν ἀλλ ἐν τοῖς μνήμασιν.
28 ἰδὼν δὲ τὸν Ἰησοῦν καὶ ἀνακράξας προσέπεσεν αὐτῷ καὶ φωνῇ
μεγάλῃ εἶπεν Τί ἐμοὶ καὶ σοί Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου
29 δέομαί σου μή με βασανίσῃς. Παρήγγελλεν γὰρ τῷ πνεύματι
τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου πολλοῖς γὰρ χρόνοις

---

v.20 καί^{c} ἀπαγγέλλω^{viap3s} αὐτός^{rpdms} λέγω^{vppagmp} ὁ^{dnfs} μήτηρ^{nnfs} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} σύ$^{rpg-s}$ ἵστημι^{vixa3p} ἔξω^{bo} ὁράω^{vnaa} σύ$^{rpa-s}$ θέλω^{vppanmp}. **v.21** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} μήτηρ^{nnfs} ἐγώ$^{rpg-s}$ καί^{c} ἀδελφός^{nnmp} ἐγώ$^{rpg-s}$ οὗτος^{rdnmp} εἰμί^{vipx3p} ὁ^{dnmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} ἀκούω^{vppanmp} καί^{c} ποιέω^{vppanmp} αὐτός^{rpams}. **v.22** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} εἷς^{ndfs} ὁ^{dgfp} ἡμέρα^{ngfp} καί^{c} αὐτός^{rpnms} ἐμβαίνω^{viaa3s} εἰς^{p} πλοῖον^{nans} καί^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} καί^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} διέρχομαι^{vsaa1p} εἰς^{p} ὁ^{dans} πέραν^{bo} ὁ^{dgfs} λίμνη^{ngfs} καί^{c} ἀνάγω^{viap3p}. **v.23** πλέω^{vppagmp} δέ^{c} αὐτός^{rpgmp} ἀφυπνόω^{viaa3s} καί^{c} καταβαίνω^{viaa3s} λαῖλαψ^{nnfs} ἄνεμος^{ngms} εἰς^{p} ὁ^{dafs} λίμνη^{nafs} καί^{c} συμπληρόω^{viip3p} καί^{c} κινδυνεύω^{viia3p}. **v.24** προσέρχομαι^{vpaanmp} δέ^{c} διεγείρω^{viaa3p} αὐτός^{rpams} λέγω^{vppanmp} ἐπιστάτης^{nvms} ἐπιστάτης^{nvms} ἀπόλλυμι^{vipm1p} ὁ^{dnms} δέ^{c} ἐγείρω^{vpapnms} ἐπιτιμάω^{viaa3s} ὁ^{ddms} ἄνεμος^{ndms} καί^{c} ὁ^{ddms} κλύδων^{ndms} ὁ^{dgns} ὕδωρ^{ngns} καί^{c} παύω^{viam3p} καί^{c} γίνομαι^{viad3s} γαλήνη^{nnfs}. **v.25** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdmp} ποῦ^{xo} εἰμί^{vipx3s} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-p}$ φοβέομαι^{vpaonmp} δέ^{c} θαυμάζω^{viaa3p} λέγω^{vppanmp} πρός^{p} ἀλλήλων^{reamp} τίς^{rqnms} ἄρα^{xo} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὅτι^{c} καί^{c} ὁ^{ddmp} ἄνεμος^{ndmp} ἐπιτάσσω^{vipa3s} καί^{c} ὁ^{ddns} ὕδωρ^{ndns} καί^{c} ὑπακούω^{vipa3p} αὐτός^{rpdms}. **v.26** καί^{c} καταπλέω^{viaa3p} εἰς^{p} ὁ^{dafs} χώρα^{nafs} ὁ^{dgmp} Γαδαρηνός^{agmpn} ὅστις^{rrnfs} εἰμί^{vipx3s} ἀντιπέρα^{bo} ὁ^{dgfs} Γαλιλαία^{ngfs}. **v.27** ἐξέρχομαι^{vpaadms} δέ^{c} αὐτός^{rpdms} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs} ὑπαντάω^{viaa3s} αὐτός^{rpdms} ἀνήρ^{nnms} τι-σρινμσ ἐκ^{p} ὁ^{dgfs} πόλις^{ngfs} ὅς^{rrnms} ἔχω^{viia3s} δαιμόνιον^{nanp} ἐκ^{p} χρόνος^{ngmp} ἱκανός^{agmpn} καί^{c} ἱμάτιον^{nans} οὐ^{xo} ἐνδιδύσκω^{viim3s} καί^{c} ἐν^{p} οἰκία^{ndfs} οὐ^{xo} μένω^{viia3s} ἀλλά^{c} ἐν^{p} ὁ^{ddnp} μνῆμα^{ndnp}. **v.28** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} ἀνακράζω^{vpaanms} προσπίπτω^{viaa3s} αὐτός^{rpdms} καί^{c} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{viaa3s} τίς^{rqnns} ἐγώ$^{rpd-s}$ καί^{c} σύ$^{rpd-s}$ Ἰησοῦς^{nvms} υἱός^{nvms} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ὕψιστος^{agmsn} δέομαι^{vipn1s} σύ$^{rpg-s}$ μή^{xo} ἐγώ$^{rpa-s}$ βασανίζω^{vsaa2s}.

συνηρπάκει αὐτόν καὶ ἐδεσμεῖτο ἁλύσεσιν καὶ πέδαις φυλασσόμενος καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. ἐπηρώτησεν δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων, Τί σοι 30
ἐστιν ὄνομά ὁ δὲ εἶπεν Λεγεών, ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν
εἰς αὐτόν. καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν 31
ἄβυσσον ἀπελθεῖν. Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκο- 32
μένων ἐν τῷ ὄρει, καὶ παρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς
εἰς ἐκείνους εἰσελθεῖν, καὶ ἐπέτρεψεν αὐτοῖς. ἐξελθόντα δὲ 33
τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλθεν εἰς τοὺς χοίρους καὶ
ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπε-
πνίγη. ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον ἔφυγον καὶ 34
ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. ἐξ- 35
ῆλθον δὲ ἰδεῖν τὸ γεγονὸς καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν καὶ εὗρον
καθήμενον τὸν ἄνθρωπον ἀφ οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱμα-
τισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ καὶ
ἐφοβήθησαν. ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες πῶς ἐσώθη 36
ὁ δαιμονισθείς. καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς πε- 37
ριχώρου τῶν Γαδαρηνῶν ἀπελθεῖν ἀπ αὐτῶν ὅτι φόβῳ μεγάλῳ
συνείχοντο, αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον ὑπέστρεψεν. ἐδέετο 38
δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ οὗ ἐξεληλύθει τὰ δαιμόνια εἶναι σὺν αὐτῷ,

---

v.29 παραγγέλλω^{viia3s} γάρ^{c} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{ddns} ἀκάθαρτος^{adnsn} ἐξέρχομαι^{vnaa} ἀπό^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms} πολύς^{admpn} γάρ^{c} χρόνος^{ndmp} συναρπάζω^{viya3s} αὐτός^{rpams} καί^{c} δεσμεύω^{viip3s} ἅλυσις^{ndfp} καί^{c} πέδη^{ndfp} φυλάσσω^{vpppnms} καί^{c} διαρρήγνυμι^{vppanms} ὁ^{danp} δεσμός^{nanp} ἐλαύνω^{viip3s} ὑπό^{p} ὁ^{dgms} δαίμων^{ngms} εἰς^{p} ὁ^{dafp} ἔρημος^{aafpn}. **v.30** ἐπερωτάω^{viaa3s} δέ^{c} αὐτός^{rpams} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{vppanms} τίς^{rqnns} σύ$^{rpd-s}$ εἰμί^{vipx3s} ὄνομα^{nnns} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} λεγιών^{nnms} ὅτι^{c} δαιμόνιον^{nnnp} πολύς^{annpn} εἰσέρχομαι^{viaa3s} εἰς^{p} αὐτός^{rpams}. **v.31** καί^{c} παρακαλέω^{viia3s} αὐτός^{rpams} ἵνα^{c} μή^{xo} ἐπιτάσσω^{vsaa3s} αὐτός^{rpdnp} εἰς^{p} ὁ^{dafs} ἄβυσσος^{nafs} ἀπέρχομαι^{vnaa}. **v.32** εἰμί^{viix3s} δέ^{c} ἐκεῖ^{bo} ἀγέλη^{nnfs} χοῖρος^{ngmp} ἱκανός^{agmpn} βόσκω^{vpppgmp} ἐν^{p} ὁ^{ddns} ὄρος^{ndns} καί^{c} παρακαλέω^{viia3p} αὐτός^{rpams} ἵνα^{c} ἐπιτρέπω^{vsaa3s} αὐτός^{rpdnp} εἰς^{p} ἐκεῖνος^{rdamp} εἰσέρχομαι^{vnaa} καί^{c} ἐπιτρέπω^{viaa3s} αὐτός^{rpdnp}. **v.33** ἐξέρχομαι^{vpaannp} δέ^{c} ὁ^{dnnp} δαιμόνιον^{nnnp} ἀπό^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms} εἰσέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{damp} χοῖρος^{namp} καί^{c} ὁρμάω^{viaa3s} ὁ^{dnfs} ἀγέλη^{nnfs} κατά^{p} ὁ^{dgms} κρημνός^{ngms} εἰς^{p} ὁ^{dafs} λίμνη^{nafs} καί^{c} ἀποπνίγω^{viap3s}. **v.34** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} βόσκω^{vppanmp} ὁ^{dans} γίνομαι^{vpxpans} φεύγω^{viaa3p} καί^{c} ἀπέρχομαι^{vpaanmp} ἀπαγγέλλω^{viaa3p} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} καί^{c} εἰς^{p} ὁ^{damp} ἀγρός^{namp}. **v.35** ἐξέρχομαι^{viaa3p} δέ^{c} ὁράω^{vnaa} ὁ^{dans} γίνομαι^{vpxaans} καί^{c} ἔρχομαι^{viaa3p} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} εὑρίσκω^{viaa3p} κάθημαι^{vppnams} ὁ^{dams} ἄνθρωπος^{nams} ἀπό^{p} ὅς^{rrgms} ὁ^{dnnp} δαιμόνιον^{nnnp} ἐξέρχομαι^{viya3s} ἱματίζω^{vpxpams} καί^{c} σωφρονέω^{vppaams} παρά^{p} ὁ^{damp} πούς^{namp} ὁ^{dgms} Ἰησοῦς^{ngms} καί^{c} φοβέομαι^{viao3p}. **v.36** ἀπαγγέλλω^{viaa3p} δέ^{c} αὐτός^{rpdmp} καί^{c} ὁ^{dnmp} ὁράω^{vpaanmp} πῶς^{bo} σῴζω^{viap3s} ὁ^{dnms} δαιμονίζομαι^{vpaonms}. **v.37** καί^{c} ἐρωτάω^{viaa3p} αὐτός^{rpams} ἅπας^{annsn} ὁ^{dnns} πλῆθος^{nnns} ὁ^{dgfs} περίχωρος^{agfsn} ὁ^{dgmp} Γαδαρηνός^{agmpn} ἀπέρχομαι^{vnaa} ἀπό^{p} αὐτός^{rpgnp} ὅτι^{c} φόβος^{ndms} μέγας^{admsn} συνέχω^{viip3p} αὐτός^{rpnms} δέ^{c} ἐμβαίνω^{vpaanms} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} ὑποστρέφω^{viaa3s}.

39 ἀπέλυσεν δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων. Ὑπόστρεφε εἰς τὸν οἶκόν
σου καὶ διηγοῦ ὅσα ἐποίησεν σοι ὁ θεός καὶ ἀπῆλθεν καθ ὅλην
40 τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. Ἐγένετο
δὲ Ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν ἀπεδέξατο αὐτὸν ὁ ὄχλος ἦ-
41 σαν γὰρ πάντες προσδοκῶντες αὐτόν. καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ
ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν καὶ
πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν
42 εἰς τὸν οἶκον αὐτοῦ. ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν
δώδεκα καὶ αὐτὴ ἀπέθνῃσκεν Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι
43 συνέπνιγον αὐτόν. καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐ-
τῶν δώδεκα ἥτις εἰς ἰατρούς προσαναλώσασα ὅλον τὸν βίον οὐκ
44 ἴσχυσεν ὑπ᾽ οὐδενὸς θεραπευθῆναι. προσελθοῦσα ὄπισθεν ἥ-
ψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ καὶ παραχρῆμα ἔστη
45 ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. καὶ εἶπεν ὁ Ἰησοῦς Τίς ὁ ἁψά-
μενός μου ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος καὶ οἱ μετ᾽
αὐτοῦ, Ἐπιστάτα οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν καὶ
46 λέγεις, Τίς ὁ ἁψάμενός μου· ὁ δὲ Ἰησοῦς εἶπεν Ἥψατό μού
47 τις ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ ἐμοῦ. ἰδοῦσα δὲ ἡ
γυνὴ ὅτι οὐκ ἔλαθεν τρέμουσα ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ
δι᾽ ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ, ἐνώπιον παντὸς

---

v.38 δέομαι^{viin3s} δέ^{c} αὐτός^{rpgms} ὁ^{dnms} ἀνήρ^{nnms} ἀπό^{p} ὅς^{rrgms} ἐξέρχομαι^{viya3s} ὁ^{dnnp} δαιμόνιον^{nnnp} εἰμί^{vnpx} σύν^{p} αὐτός^{rpdms} ἀπολύω^{viaa3s} δέ^{c} αὐτός^{rpams} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{vppanms}. **v.39** ὑποστρέφω^{vdpa2s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} σύ$^{rpg-s}$ καί^{c} διηγέομαι^{vdpn2s} ὅσος^{rcanp} ποιέω^{viaa3s} σύ$^{rpd-s}$ ὁ^{dnms} θεός^{nnms} καί^{c} ἀπέρχομαι^{viaa3s} κατά^{p} ὅλος^{aafsn} ὁ^{dafs} πόλις^{nafs} κηρύσσω^{vppanms} ὅσος^{rcanp} ποιέω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.40** γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} ὁ^{ddms} ὑποστρέφω^{vnaa} ὁ^{dams} Ἰησοῦς^{nams} ἀποδέχομαι^{viad3s} αὐτός^{rpams} ὁ^{dnms} ὄχλος^{nnms} εἰμί^{viix3p} γάρ^{c} πᾶς^{anmpn} προσδοκάω^{vppanmp} αὐτός^{rpams}. **v.41** καί^{c} ἰδού^{vdaa2s} ἔρχομαι^{viaa3s} ἀνήρ^{nnms} ὅς^{rrdms} ὄνομα^{nnns} Ἰάϊρος^{nnms} καί^{c} αὐτός^{rpnms} ἄρχων^{nnms} ὁ^{dgfs} συναγωγή^{ngfs} ὑπάρχω^{viia3s} καί^{c} πίπτω^{vpaanms} παρά^{p} ὁ^{damp} πούς^{namp} ὁ^{dgms} Ἰησοῦς^{ngms} παρακαλέω^{viia3s} αὐτός^{rpams} εἰσέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms}. **v.42** ὅτι^{c} θυγάτηρ^{nnfs} μονογενής^{anfsn} εἰμί^{viix3s} αὐτός^{rpdms} ὡς^{bo} ἔτος^{ngnp} δώδεκα^{tn} καί^{c} αὐτός^{rpnfs} ἀποθνῄσκω^{viia3s} ἐν^{p} δέ^{c} ὁ^{ddms} ὑπάγω^{vnpa} αὐτός^{rpams} ὁ^{dnmp} ὄχλος^{nnmp} συμπνίγω^{viia3p} αὐτός^{rpams}. **v.43** καί^{c} γυνή^{nnfs} εἰμί^{vppxnfs} ἐν^{p} ῥύσις^{ndfs} αἷμα^{ngns} ἀπό^{p} ἔτος^{ngnp} δώδεκα^{tn} ὅστις^{rrnfs} εἰς^{p} ἰατρός^{namp} προσαναλίσκω^{vpaanfs} ὅλος^{aamsn} ὁ^{dams} βίος^{nams} οὐ^{xo} ἰσχύω^{viaa3s} ὑπό^{p} οὐδείς^{agmsn} θεραπεύω^{vnap}. **v.44** προσέρχομαι^{vpaanfs} ὄπισθεν^{bo} ἅπτω^{viad3s} ὁ^{dgns} κράσπεδον^{ngns} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms} καί^{c} παραχρῆμα^{bo} ἵστημι^{viaa3s} ὁ^{dnfs} ῥύσις^{nnfs} ὁ^{dgns} αἷμα^{ngns} αὐτός^{rpgfs}. **v.45** καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} τίς^{rqnfs} ὁ^{dnms} ἅπτω^{vpamnms} ἐγώ$^{rpg-s}$ ἀρνέομαι^{vppngmp} δέ^{c} πᾶς^{agmpn} λέγω^{viaa3s} ὁ^{dnms} Πέτρος^{nnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms} ἐπιστάτης^{nvms} ὁ^{dnmp} ὄχλος^{nnmp} συνέχω^{vipa3p} σύ$^{rpa-s}$ καί^{c} ἀποθλίβω^{vipa3p} καί^{c} λέγω^{vipa2s} τίς^{rqnfs} ὁ^{dnms} ἅπτω^{vpamnms} ἐγώ$^{rpg-s}$. **v.46** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} ἅπτω^{viad3s} ἐγώ$^{rpg-s}$ τι-σρινφσ ἐγώ$^{rpn-s}$ γάρ^{c} γινώσκω^{viaa1s} δύναμις^{nafs} ἐξέρχομαι^{vpaaafs} ἀπό^{p} ἐγώ$^{rpg-s}$.

τοῦ λαοῦ καὶ ὡς ἰάθη παραχρῆμα. ὁ δὲ εἶπεν αὐτῇ Θάρσει, 48
θύγατερ ἡ πίστις σου σέσωκέν σε, πορεύου εἰς εἰρήνην. Ἔτι 49
αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων
αὐτῷ ὅτι Τέθνηκεν ἡ θυγάτηρ σου, μὴ σκύλλε τὸν διδάσκαλον.
ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων, Μὴ φοβοῦ μόνον 50
πίστευε, καὶ σωθήσεται. εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆ- 51
κεν εἰσελθεῖν οὐδένα εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην
καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. ἔκλαιον δὲ πάν- 52
τες καὶ ἐκόπτοντο αὐτήν ὁ δὲ εἶπεν Μὴ κλαίετε οὐκ ἀπέθανεν
ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ εἰδότες ὅτι ἀπέθανεν. 53
αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς 54
ἐφώνησεν λέγων Ἡ παῖς ἔγειρου. καὶ ἐπέστρεψεν τὸ πνεῦμα 55
αὐτῆς καὶ ἀνέστη παραχρῆμα καὶ διέταξεν αὐτῇ δοθῆναι φα-
γεῖν. καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς, ὁ δὲ παρήγγειλεν αὐτοῖς 56
μηδενὶ εἰπεῖν τὸ γεγονός.

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν **9**
αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους
θεραπεύειν. καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν 2
τοῦ θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. καὶ εἶπεν πρὸς αὐτούς 3
Μηδὲν αἴρετε εἰς τὴν ὁδόν μήτε ῥάβδους, μήτε πήραν μήτε ἄρ-

---

v.47 ὁράω^{vpaanfs} δέ^{c} ὁ^{dnfs} γυνή^{nnfs} ὅτι^{c} οὐ^{xo} λανθάνω^{viaa3s} τρέμω^{vppanfs} ἔρχομαι^{viaa3s} καί^{c} προσπίπτω^{vpaanfs} αὐτός^{rpdms} διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἅπτω^{viad3s} αὐτός^{rpgms} ἀπαγγέλλω^{viaa3s} αὐτός^{rpdms} ἐνώπιον^{bo} πᾶς^{agmsn} ὁ^{dgms} λαός^{ngms} καί^{c} ὡς^{bo} ἰάομαι^{viap3s} παραχρῆμα^{bo}.
v.48 ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdfs} θαρσέω^{vdpa2s} θυγάτηρ^{nvfs} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-s}$ σῴζω^{vixa3s} σύ$^{rpa-s}$ πορεύομαι^{vdpn2s} εἰς^{p} εἰρήνη^{nafs}.
v.49 ἔτι^{bo} αὐτός^{rpgms} λαλέω^{vppagms} ἔρχομαι^{vipn3s} τι-ορινμσ παρά^{p} ὁ^{dgms} ἀρχισυνάγωγος^{ngms} λέγω^{vppanms} αὐτός^{rpdms} ὅτι^{c} θνῄσκω^{vixa3s} ὁ^{dnfs} θυγάτηρ^{nnfs} σύ$^{rpg-s}$ μή^{xo} σκύλλω^{vdpa2s} ὁ^{dams} διδάσκαλος^{nams}.
v.50 ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ἀκούω^{vpaanms} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} λέγω^{vppanms} μή^{xo} φοβέομαι^{vdpm2s} μόνος^{bo} πιστεύω^{vdpa2s} καί^{c} σῴζω^{vifp3s}.
v.51 εἰσέρχομαι^{vpaanms} δέ^{c} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} οὐ^{xo} ἀφίημι^{viaa3s} εἰσέρχομαι^{vnaa} οὐδείς^{aamsn} εἰ^{qo} μή^{xo} Πέτρος^{nams} καί^{c} Ἰάκωβος^{nams} καί^{c} Ἰωάννης^{nams} καί^{c} ὁ^{dams} πατήρ^{nams} ὁ^{dgfs} παῖς^{ngfs} καί^{c} ὁ^{dafs} μήτηρ^{nafs}.
v.52 κλαίω^{viia3p} δέ^{c} πᾶς^{anmpn} καί^{c} κόπτω^{viim3p} αὐτός^{rpafs} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} μή^{xo} κλαίω^{vdpa2p} οὐ^{xo} ἀποθνῄσκω^{viaa3s} ἀλλά^{c} καθεύδω^{vipa3s}.
v.53 καί^{c} καταγελάω^{viia3p} αὐτός^{rpgms} οἶδα^{vpxanmp} ὅτι^{c} ἀποθνῄσκω^{viaa3s}.
v.54 αὐτός^{rpnms} δέ^{c} ἐκβάλλω^{vpaanms} ἔξω^{bo} πᾶς^{aampn} καί^{c} κρατέω^{vpaanms} ὁ^{dgfs} χείρ^{ngfs} αὐτός^{rpgfs} φωνέω^{viaa3s} λέγω^{vppanms} ὁ^{dnfs} παῖς^{nnfs} ἐγείρω^{vdpe2s}.
v.55 καί^{c} ἐπιστρέφω^{viaa3s} ὁ^{dnns} πνεῦμα^{nnns} αὐτός^{rpgfs} καί^{c} ἀνίστημι^{viaa3s} παραχρῆμα^{bo} καί^{c} διατάσσω^{viaa3s} αὐτός^{rpdfs} δίδωμι^{vnap} ἐσθίω^{vnaa}.
v.56 καί^{c} ἐξίστημι^{viaa3p} ὁ^{dnmp} γονεύς^{nnmp} αὐτός^{rpgfs} ὁ^{dnms} δέ^{c} παραγγέλλω^{viaa3s} αὐτός^{rpdmp} μηδείς^{admsn} λέγω^{vnaa} ὁ^{dans} γίνομαι^{vpxaans}.
9. v.1 συγκαλέω^{vpamnms} δέ^{c} ὁ^{damp} δώδεκα^{tn} μαθητής^{namp} αὐτός^{rpgms} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} δύναμις^{nafs} καί^{c} ἐξουσία^{nafs} ἐπί^{p} πᾶς^{aanpn} ὁ^{danp} δαιμόνιον^{nanp} καί^{c} νόσος^{nafp} θεραπεύω^{vnpa}.
v.2 καί^{c} ἀποστέλλω^{viaa3s} αὐτός^{rpamp} κηρύσσω^{vnpa} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} ἰάομαι^{vnpn} ὁ^{damp} ἀσθενέω^{vppaamp}.

4 τον μήτε ἀργύριον μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. καὶ εἰς ἣν ἂν
5 οἰκίαν εἰσέλθητε ἐκεῖ μένετε καὶ ἐκεῖθεν ἐξέρχεσθε. καὶ ὅσοι
ἂν μὴ δέξωνταί ὑμᾶς ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης καὶ
τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον
6 ἐπ αὐτούς. ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγε-
7 λιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ. Ἤκουσεν δὲ Ἡρῴδης
ὁ τετράρχης τὰ γινόμενα ὑπ᾽ αὐτοῦ πάντα καὶ διηπόρει διὰ τὸ
8 λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν. ὑπό τι-
νων δὲ ὅτι Ἠλίας ἐφάνη ἄλλων δὲ ὅτι προφήτης εἷς τῶν ἀρχαίων
9 ἀνέστη. καὶ εἶπεν ὁ Ἡρῴδης Ἰωάννην ἐγὼ ἀπεκεφάλισα, τίς δὲ
ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα καὶ ἐζήτει ἰδεῖν αὐτόν.
10 Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποί-
ησαν καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ ἰδίαν εἰς τόπον
11 ἔρημον πόλεως καλουμένης Βηθσαϊδά. οἱ δὲ ὄχλοι γνόντες
ἠκολούθησαν αὐτῷ, καὶ δεξάμενος αὐτοὺς ἐλάλει αὐτοῖς περὶ
τῆς βασιλείας τοῦ θεοῦ καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰ-
12 ᾶτο. Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν, προσελθόντες δὲ οἱ δώδεκα
εἶπον αὐτῷ Ἀπόλυσον τὸν ὄχλον ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ
κώμας καὶ τοῦς ἀγροὺς καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμόν
13 ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. εἶπεν δὲ πρὸς αὐτούς Δότε αὐ-
τοῖς ὑμεῖς φαγεῖν οἱ δὲ εἶπον, Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε

---

v.3 καί[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] μηδείς[aansn] αἴρω[vdpa2p] εἰς[p] ὁ[dafs] ὁδός[nafs] μήτε[c] ῥάβδος[nafp] μήτε[c] πήρα[nafs] μήτε[c] ἄρτος[nams] μήτε[c] ἀργύριον[nans] μήτε[c] ἀνά[p] δύο[tn] χιτών[namp] ἔχω[vnpa]. **v.4** καί[c] εἰς[p] ὅς[rrafs] ἄν[xo] οἰκία[nafs] εἰσέρχομαι[vsaa2p] ἐκεῖ[bo] μένω[vdpa2p] καί[c] ἐκεῖθεν[bo] ἐξέρχομαι[vdpn2p]. **v.5** καί[c] ὅσος[rcnmp] ἄν[xo] μή[xo] δέχομαι[vsad3p] σύ[rpa-p] ἐξέρχομαι[vppnnmp] ἀπό[p] ὁ[dgfs] πόλις[ngfs] ἐκεῖνος[rdgfs] καί[c] ὁ[dams] κονιορτός[nams] ἀπό[p] ὁ[dgmp] πούς[ngmp] σύ[rpg-p] ἀποτινάσσω[vdaa2p] εἰς[p] μαρτύριον[nans] ἐπί[p] αὐτός[rpamp]. **v.6** ἐξέρχομαι[vppnnmp] δέ[c] διέρχομαι[viin3p] κατά[p] ὁ[dafp] κώμη[nafp] εὐαγγελίζω[vppmnmp] καί[c] θεραπεύω[vppanmp] πανταχοῦ[bo]. **v.7** ἀκούω[viaa3s] δέ[c] Ἡρῴδης[nnms] ὁ[dnms] τετραάρχης[nnms] ὁ[danp] γίνομαι[vppnanp] ὑπό[p] αὐτός[rpgms] πᾶς[aanpn] καί[c] διαπορέω[viia3s] διά[p] ὁ[dans] λέγω[vnpp] ὑπό[p] τι-σριγμπ ὅτι[c] Ἰωάννης[nnms] ἐγείρω[vixp3s] ἐκ[p] νεκρός[agmpn]. **v.8** ὑπό[p] τι-σριγμπ δέ[c] ὅτι[c] Ἠλίας[nnms] φαίνω[viap3s] ἄλλος[agmpn] δέ[c] ὅτι[c] προφήτης[nnms] εἷς[nnms] ὁ[dgmp] ἀρχαῖος[agmpn] ἀνίστημι[viaa3s]. **v.9** καί[c] λέγω[viaa3s] ὁ[dnms] Ἡρῴδης[nnms] Ἰωάννης[nams] ἐγώ[rpn-s] ἀποκεφαλίζω[viaa1s] τίς[rqnms] δέ[c] εἰμί[vipx3s] οὗτος[rdnms] περί[p] ὅς[rrgms] ἐγώ[rpn-s] ἀκούω[vipa1s] τοιοῦτος[rdanp] καί[c] ζητέω[viia3s] ὁράω[vnaa] αὐτός[rpams]. **v.10** καί[c] ὑποστρέφω[vpaanmp] ὁ[dnmp] ἀπόστολος[nnmp] διηγέομαι[viad3p] αὐτός[rpdms] ὅσος[rcanp] ποιέω[viaa3p] καί[c] παραλαμβάνω[vpaanms] αὐτός[rpamp] ὑποχωρέω[viaa3s] κατά[p] ἴδιος[aafsn] εἰς[p] τόπος[nams] ἔρημος[aamsn] πόλις[ngfs] καλέω[vpppgfs] Βηθσαϊδά[tp]. **v.11** ὁ[dnmp] δέ[c] ὄχλος[nnmp] γινώσκω[vpaanmp] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] καί[c] δέχομαι[vpadnms] αὐτός[rpamp] λαλέω[viia3s] αὐτός[rpdmp] περί[p] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[damp] χρεία[nafs] ἔχω[vppaamp] θεραπεία[ngfs] ἰάομαι[viin3s]. **v.12** ὁ[dnfs] δέ[c] ἡμέρα[nnfs] ἄρχω[viad3s] κλίνω[vnpa] προσέρχομαι[vpaanmp] δέ[c] ὁ[dnmp] δώδεκα[tn] λέγω[viaa3p] αὐτός[rpdms] ἀπολύω[vdaa2s] ὁ[dams] ὄχλος[nams] ἵνα[c] ἀπέρχομαι[vpaanmp] εἰς[p] ὁ[dafp] κύκλῳ[ndms] κώμη[nafp] καί[c] ὁ[damp] ἀγρός[namp] καταλύω[vsaa3p] καί[c] εὑρίσκω[viaa3p] ἐπισιτισμός[nams] ὅτι[c] ὧδε[bo] ἐν[p] ἔρημος[admsn] τόπος[ndms] εἰμί[vipx1p].

ἄρτοι καὶ δύο ἰχθύες εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν
εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα. ἦσαν γὰρ ὡσεὶ ἄνδρες 14
πεντακισχίλιοι εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ Κατακλίνατε
αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα. καὶ ἐποίησαν οὕτως καὶ ἀν- 15
έκλιναν ἅπαντας. λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο 16
ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κα-
τέκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς παρατιθέναι τῷ ὄχλῳ. καὶ 17
ἔφαγον καὶ ἐχορτάσθησαν πάντες καὶ ἤρθη τὸ περισσεῦσαν αὐ-
τοῖς κλασμάτων κόφινοι δώδεκα. Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν 18
προσευχόμενον κατὰμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί καὶ ἐπη-
ρώτησεν αὐτοὺς λέγων Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι. οἱ δὲ 19
ἀποκριθέντες εἶπον, Ἰωάννην τὸν βαπτιστήν ἄλλοι δὲ Ἠλίαν ἄλ-
λοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. εἶπεν δὲ αὐτοῖς 20
Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν Τὸν
Χριστὸν τοῦ θεοῦ. Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς παρήγγειλεν μη- 21
δενὶ εἰπεῖν τοῦτο. εἰπὼν ὅτι Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ 22
παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχι-
ερέων καὶ γραμματέων καὶ ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ
ἐγερθῆναι. Ἔλεγεν δὲ πρὸς πάντας Εἴ τις θέλει ὀπίσω μου ἐλ- 23
θεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ

---

v.13 λέγω^{viaa3s} δέ^{c} πρός^{p} αὐτός^{rpamp} δίδωμι^{vdaa2p} αὐτός^{rpdmp} σύ$^{rpn-p}$ ἐσθίω^{vnaa} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} οὐ^{xo} εἰμί^{vipx3p} ἐγώ$^{rpd-p}$ πολύς^{annsc} ἤ^{xo} πέντε^{tn} ἄρτος^{nnmp} καί^{c} δύο^{tn} ἰχθύς^{nnmp} εἰ^{qo} μήτι^{xo} πορεύομαι^{vpaonmp} ἐγώ$^{rpn-p}$ ἀγοράζω^{vsaa1p} εἰς^{p} πᾶς^{aamsn} ὁ^{dams} λαός^{nams} οὗτος^{rdams} βρῶμα^{nanp}. **v.14** εἰμί^{viix3p} γάρ^{c} ὡσεί^{bo} ἀνήρ^{nnmp} πεντακισχίλιοι^{nnmp} λέγω^{viaa3s} δέ^{c} πρός^{p} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} κατακλίνω^{vdaa2p} αὐτός^{rpamp} κλισία^{nafp} ἀνά^{p} πεντήκοντα^{tn}. **v.15** καί^{c} ποιέω^{viaa3p} οὕτω^{bo} καί^{c} ἀνακλίνω^{viaa3p} ἅπας^{aampn}. **v.16** λαμβάνω^{vpaanms} δέ^{c} ὁ^{damp} πέντε^{tn} ἄρτος^{namp} καί^{c} ὁ^{damp} δύο^{tn} ἰχθύς^{namp} ἀναβλέπω^{vpaanms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} εὐλογέω^{viaa3s} αὐτός^{rpamp} καί^{c} κατακλάω^{viaa3s} καί^{c} δίδωμι^{viia3s} ὁ^{ddmp} μαθητής^{ndmp} παρατίθημι^{vnap} ὁ^{ddms} ὄχλος^{ndms}. **v.17** καί^{c} ἐσθίω^{viaa3p} καί^{c} χορτάζω^{viap3p} πᾶς^{anmpn} καί^{c} αἴρω^{viap3s} ὁ^{dnns} περισσεύω^{vpaanns} αὐτός^{rpdmp} κλάσμα^{ngnp} κόφινος^{nnmp} δώδεκα^{tn}. **v.18** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} εἰμί^{vnpx} αὐτός^{rpams} προσεύχομαι^{vppnams} κατά&μόνος^{bo} σύνειμι^{viix3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} καί^{c} ἐπερωτάω^{viaa3s} αὐτός^{rpamp} λέγω^{vppanms} τίς^{rqams} ἐγώ$^{rpa-s}$ λέγω^{vipa3p} ὁ^{dnmp} ὄχλος^{nnmp} εἰμί^{vnpx}. **v.19** ὁ^{dnmp} δέ^{c} ἀποκρίνομαι^{vpaonmp} λέγω^{viaa3p} Ἰωάννης^{nams} ὁ^{dams} βαπτιστής^{nams} ἄλλος^{anmpn} δέ^{c} Ἠλίας^{nams} ἄλλος^{anmpn} δέ^{c} ὅτι^{c} προφήτης^{nnms} τι-σρινμσ ὁ^{dgmp} ἀρχαῖος^{agmpn} ἀνίστημι^{viaa3s}. **v.20** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdmp} σύ$^{rpn-p}$ δέ^{c} τίς^{rqams} ἐγώ$^{rpa-s}$ λέγω^{vipa2p} εἰμί^{vnpx} ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Πέτρος^{nnms} λέγω^{viaa3s} ὁ^{dams} Χριστός^{nams} ὁ^{dgms} θεός^{ngms}. **v.21** ὁ^{dnms} δέ^{c} ἐπιτιμάω^{vpaanms} αὐτός^{rpdmp} παραγγέλλω^{viaa3s} μηδείς^{admsn} λέγω^{vnaa} οὗτος^{rdans}. **v.22** λέγω^{vpaanms} ὅτι^{c} δεῖ^{vipq3s} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} πολύς^{aanpn} πάσχω^{vnaa} καί^{c} ἀποδοκιμάζω^{vnap} ἀπό^{p} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} καί^{c} ἀρχιερεύς^{ngmp} καί^{c} γραμματεύς^{ngmp} καί^{c} ἀποκτείνω^{vnap} καί^{c} ὁ^{ddfs} τρίτος^{adfsn} ἡμέρα^{ndfs} ἐγείρω^{vnap}.

24 ἡμέραν καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐ-
τοῦ σῶσαι ἀπολέσει αὐτήν, ὃς δ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ
25 ἕνεκεν ἐμοῦ οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελεῖται ἄνθρωπος
κερδήσας τὸν κόσμον ὅλον ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς.
26 ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους τοῦτον ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ
27 καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων. λέγω δὲ ὑμῖν ἀληθῶς
εἰσίν τινες τῶν ὧδε ἑστηκότων οἳ οὐ μὴ γεύσονται θανάτου ἕως
28 ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ. Ἐγένετο δὲ μετὰ τοὺς λό-
γους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ καὶ παραλαβὼν τὸν Πέτρον καὶ
29 Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. καὶ
ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐ-
30 τοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. καὶ
ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ οἵτινες ἦσαν Μωσῆς καὶ Ἠ-
31 λίας. οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἔμελλεν
32 πληροῦν ἐν Ἰερουσαλήμ. ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν
βεβαρημένοι ὕπνῳ, διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐ-
33 τοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. καὶ ἐγένετο
ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ αὐτοῦ εἶπεν ὁ Πέτρος πρὸς τὸν
Ἰησοῦν Ἐπιστάτα καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι καὶ ποιήσωμεν
σκηνὰς τρεῖς μίαν σοὶ καὶ Μωσεῖ μίαν καὶ μίαν Ἠλίᾳ μὴ εἰδὼς

---

v.23 λέγω^{viia3s} δέ^{c} πρός^{p} πᾶς^{aampn} εἰ^{qo} τι-σρινμσ θέλω^{vipa3s} ὀπίσω^{bo} ἐγώ$^{rpg-s}$ ἔρχομαι^{vnaa} ἀπαρνέομαι^{vdad3s} ἑαυτοῦ^{rxams} καί^{c} αἴρω^{vdaa3s} ὁ^{dams} σταυρός^{nams} αὐτός^{rpgms} κατά^{p} ἡμέρα^{nafs} καί^{c} ἀκολουθέω^{vdpa3s} ἐγώ$^{rpd-s}$. **v.24** ὅς^{rrnms} γάρ^{c} ἄν^{xo} θέλω^{vspa3s} ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} σῴζω^{vnaa} ἀπόλλυμι^{vifa3s} αὐτός^{rpafs} ὅς^{rrnms} δέ^{c} ἄν^{xo} ἀπόλλυμι^{vsaa3s} ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} ἕνεκα^{bo} ἐγώ$^{rpg-s}$ οὗτος^{rdnms} σῴζω^{vifa3s} αὐτός^{rpafs}. **v.25** τίς^{rqans} γάρ^{c} ὠφελέω^{vipp3s} ἄνθρωπος^{nnms} κερδαίνω^{vpaanms} ὁ^{dams} κόσμος^{nams} ὅλος^{aamsn} ἑαυτοῦ^{rxams} δέ^{c} ἀπόλλυμι^{vpaanms} ἤ^{xo} ζημιόω^{vpapnms}. **v.26** ὅς^{rrnms} γάρ^{c} ἄν^{xo} ἐπαισχύνομαι^{vsao3s} ἐγώ$^{rpa-s}$ καί^{c} ὁ^{damp} ἐμός^{rsamp} λόγος^{namp} οὗτος^{rdams} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐπαισχύνομαι^{vifo3s} ὅταν^{c} ἔρχομαι^{vsaa3s} ἐν^{p} ὁ^{ddfs} δόξα^{ndfs} αὐτός^{rpgms} καί^{c} ὁ^{dgms} πατήρ^{ngms} καί^{c} ὁ^{dgmp} ἅγιος^{agmpn} ἄγγελος^{ngmp}. **v.27** λέγω^{vipa1s} δέ^{c} σύ$^{rpd-p}$ ἀληθῶς^{bo} εἰμί^{vipx3p} τι-σρινμπ ὁ^{dgmp} ὧδε^{bo} ἵστημι^{vpxagmp} ὅς^{rrnmp} οὐ^{xo} μή^{xo} γεύομαι^{vifd3p} θάνατος^{ngms} ἕως^{c} ἄν^{xo} ὁράω^{vsaa3p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.28** γίνομαι^{viad3s} δέ^{c} μετά^{p} ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} ὡσεί^{bo} ἡμέρα^{nnfp} ὀκτώ^{tn} καί^{c} παραλαμβάνω^{vpaanms} ὁ^{dams} Πέτρος^{nams} καί^{c} Ἰωάννης^{nams} καί^{c} Ἰάκωβος^{nams} ἀναβαίνω^{viaa3s} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} προσεύχομαι^{vnad}. **v.29** καί^{c} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddms} προσεύχομαι^{vnpn} αὐτός^{rpams} ὁ^{dnns} εἶδος^{nnns} ὁ^{dgns} πρόσωπον^{ngns} αὐτός^{rpgms} ἕτερος^{annsn} καί^{c} ὁ^{dnms} ἱματισμός^{nnms} αὐτός^{rpgms} λευκός^{anmsn} ἐξαστράπτω^{vppanms}. **v.30** καί^{c} ἰδού^{vdaa2s} ἀνήρ^{nnmp} δύο^{tn} συλλαλέω^{viia3p} αὐτός^{rpdms} ὅστις^{rrnmp} εἰμί^{viix3p} Μωϋσῆς^{nnms} καί^{c} Ἠλίας^{nnms}. **v.31** ὅς^{rrnmp} ὁράω^{vpapnmp} ἐν^{p} δόξα^{ndfs} λέγω^{viia3p} ὁ^{dafs} ἔξοδος^{nafs} αὐτός^{rpgms} ὅς^{rrafs} μέλλω^{viia3s} πληρόω^{vnpa} ἐν^{p} Ἰερουσαλήμ^{tp}. **v.32** ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} καί^{c} ὁ^{dnmp} σύν^{p} αὐτός^{rpdms} εἰμί^{viix3p} βαρέω^{vpxpnmp} ὕπνος^{ndms} διαγρηγορέω^{vpaanmp} δέ^{c} ὁράω^{viaa3p} ὁ^{dafs} δόξα^{nafs} αὐτός^{rpgms} καί^{c} ὁ^{damp} δύο^{tn} ἀνήρ^{namp} ὁ^{damp} συνίστημι^{vpxaamp} αὐτός^{rpdms}.

ὃ λέγει. ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκί- 34
ασεν αὐτούς, ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν
νεφέλην. καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα Οὗτός 35
ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε. καὶ ἐν τῷ γενέ- 36
σθαι τὴν φωνὴν εὑρέθη ὁ Ἰησοῦς μόνος καὶ αὐτοὶ ἐσίγησαν καὶ
οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑώρακα-
σιν. Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν ἀπὸ 37
τοῦ ὄρους συνήντησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ ἀνὴρ ἀπὸ 38
τοῦ ὄχλου ἀνεβόησεν λέγων Διδάσκαλε δέομαί σου ἐπιβλέψον
ἐπὶ τὸν υἱόν μου ὅτι μονογενής ἐστιν μοί. καὶ ἰδοὺ πνεῦμα 39
λαμβάνει αὐτόν καὶ ἐξαίφνης κράζει καὶ σπαράσσει αὐτὸν με-
τὰ ἀφροῦ καὶ μόγις ἀποχωρεῖ ἀπ αὐτοῦ συντρῖβον αὐτόν, καὶ 40
ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλλωσιν αὐτό καὶ οὐκ ἠδυ-
νήθησαν. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν Ὦ γενεὰ ἄπιστος καὶ 41
διεστραμμένη ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν
προσάγαγε ὧδε τὸν υἱόν σου. ἔτι δὲ προσερχομένου αὐτοῦ 42
ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν, ἐπετίμησεν δὲ
ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ καὶ ἰάσατο τὸν παῖδα καὶ
ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ. ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ 43
τῇ μεγαλειότητι τοῦ θεοῦ Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν

---

v.33 καίc γίνομαιviad3s ἐνp ὁddms διαχωρίζωvnpn αὐτόςrpamp ἀπόp αὐτόςrpgms λέγωviaa3s ὁdnms Πέτροςnnms πρόςp ὁdams Ἰησοῦςnams ἐπιστάτηςnvms καλόςannsn εἰμίvipx3s ἐγώrpa-p ὧδεbo εἰμίvnpx καίc ποιέωvsaa1p σκηνήnafp τρεῖςnafp εἷςnafs σύrpd-s καίc Μωϋσῆςndms εἷςnafs καίc εἷςnafs Ἠλίαςndms μήxo οἶδαvpxanms ὅςrrans λέγωvipa3s. **v.34** οὗτοςrdanp δέc αὐτόςrpgms λέγωvppagms γίνομαιviad3s νεφέληnnfs καίc ἐπισκιάζωviaa3s αὐτόςrpamp φοβέομαιviao3p δέc ἐνp ὁddms ἐκεῖνοςrdamp εἰσέρχομαιvnaa εἰςp ὁdafs νεφέληnafs. **v.35** καίc φωνήnnfs γίνομαιviad3s ἐκp ὁdgfs νεφέληngfs λέγωvppanfs οὗτοςrdnms εἰμίvipx3s ὁdnms υἱόςnnms ἐγώrpg-s ὁdnms ἀγαπητόςanmsn αὐτόςrpgms ἀκούωvdpa2p. **v.36** καίc ἐνp ὁddms γίνομαιvnad ὁdafs φωνήnafs εὑρίσκωviap3s ὁdnms Ἰησοῦςnnms μόνοςanmsn καίc αὐτόςrpnmp σιγάωviaa3p καίc οὐδείςadmsn ἀπαγγέλλωviaa3p ἐνp ἐκεῖνοςrddfp ὁddfp ἡμέραndfp οὐδείςaansn ὅςrrgmp ὁράωvixa3p. **v.37** γίνομαιviad3s δέc ἐνp ὁddfs ἑξῆςbo ἡμέραndfs κατέρχομαιvpaagmp αὐτόςrpgmp ἀπόp ὁdgns ὄροςngns συναντάωviaa3s αὐτόςrpdms ὄχλοςnnms πολύςanmsn. **v.38** καίc ἰδούvdaa2s ἀνήρnnms ἀπόp ὁdgms ὄχλοςngms ἀναβοάωviaa3s λέγωvppanms διδάσκαλοςnvms δέομαιvipn1s σύrpg-s ἐπιβλέπωvdaa2s ἐπίp ὁdams υἱόςnams ἐγώrpg-s ὅτιc μονογενήςanmsn εἰμίvipx3s ἐγώrpd-s. **v.39** καίc ἰδούvdaa2s πνεῦμαnnns λαμβάνωvipa3s αὐτόςrpams καίc ἐξαίφνηςbo κράζωvipa3s καίc σπαράσσωvipa3s αὐτόςrpams μετάp ἀφρόςngms καίc μόγιςbo ἀποχωρέωvipa3s ἀπόp αὐτόςrpgms συντρίβωvppanns αὐτόςrpams. **v.40** καίc δέομαιviap1s ὁdgmp μαθητήςngmp σύrpg-s ἵναc ἐκβάλλωvspa3p αὐτόςrpans καίc οὐxo δύναμαιviao3p. **v.41** ἀποκρίνομαιvpaonms δέc ὁdnms Ἰησοῦςnnms λέγωviaa3s ὦi γενεάnvfs ἄπιστοςanfsn καίc διαστρέφωvpxpnfs ἕως πότεxo εἰμίvifx1s πρόςp σύrpa-p καίc ἀνέχωvifd1s σύrpg-p προσάγωvdaa2s ὧδεbo ὁdams υἱόςnams σύrpg-s. **v.42** ἔτιbo δέc προσέρχομαιvppngms αὐτόςrpgms ῥήγνυμιviaa3s αὐτόςrpams ὁdnns δαιμόνιονnnns καίc συσπαράσσωviaa3s ἐπιτιμάωviaa3s δέc ὁdnms Ἰησοῦςnnms ὁddns πνεῦμαndns ὁddns ἀκάθαρτοςadnsn καίc ἰάομαιviad3s ὁdams παῖςnams καίc ἀποδίδωμιviaa3s αὐτόςrpams ὁddms πατήρndms αὐτόςrpgms.

44 οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ. Θέ-
σθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους, ὁ γὰρ υἱὸς τοῦ
45 ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. οἱ δὲ ἠ-
γνόουν τὸ ῥῆμα τοῦτο καὶ ἦν παρακεκαλυμμένον ἀπ αὐτῶν ἵνα
μὴ αἴσθωνται αὐτό καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥή-
46 ματος τούτου. Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς τὸ τίς ἂν εἴη
47 μείζων αὐτῶν. ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας
48 αὐτῶν ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ ἑαυτῷ. καὶ
εἶπεν αὐτοῖς Ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί
μου ἐμὲ δέχεται, καὶ ὃς ἐὰν ἐμὲ δέξηται δέχεται τὸν ἀποστεί-
λαντά με, ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων οὗτός ἐσται
49 μέγας. Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν Ἐπιστάτα εἴδομέν τινα
ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τά δαιμόνια καὶ ἐκωλύσαμεν
50 αὐτὸν ὅτι οὐκ ἀκολουθεῖ μεθ ἡμῶν. καὶ εἶπεν πρὸς αὐτὸν ὁ
Ἰησοῦς Μὴ κωλύετε, ὃς γὰρ οὐκ ἔστιν καθ ἡμῶν ὑπὲρ ἡμῶν
51 ἐστιν. Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀ-
ναλήψεως αὐτοῦ καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ, ἐστήριξεν τοῦ
52 πορεύεσθαι εἰς Ἰερουσαλήμ. καὶ ἀπέστειλεν ἀγγέλους πρὸ
προσώπου αὐτοῦ καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμα-
53 ρειτῶν, ὡστε ἑτοιμάσαι αὐτῷ, καὶ οὐκ ἐδέξαντο αὐτόν ὅτι τὸ

---

v.43 ἐκπλήσσω^{viip3p} δέ^{c} πᾶς^{anmpn} ἐπί^{p} ὁ^{ddfs} μεγαλειότης^{ndfs} ὁ^{dgms} θεός^{ngms} πᾶς^{agmpn} δέ^{c} θαυμάζω^{vppagmp} ἐπί^{p} πᾶς^{adnpn} ὅς^{rrdnp} ποιέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} πρός^{p} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms}. **v.44** τίθημι^{vdam2p} σύ$^{rpn-p}$ εἰς^{p} ὁ^{danp} οὖς^{nanp} σύ$^{rpg-p}$ ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} ὁ^{dnms} γάρ^{c} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} μέλλω^{vipa3s} παραδίδωμι^{vnpp} εἰς^{p} χείρ^{nafp} ἄνθρωπος^{ngmp}. **v.45** ὁ^{dnmp} δέ^{c} ἀγνοέω^{viia3p} ὁ^{dans} ῥῆμα^{nans} οὗτος^{rdans} καί^{c} εἰμί^{viix3s} παρακαλύπτω^{vpxpnns} ἀπό^{p} αὐτός^{rpgmp} ἵνα^{c} μή^{xo} αἰσθάνομαι^{vsad3p} αὐτός^{rpans} καί^{c} φοβέομαι^{viin3p} ἐρωτάω^{vnaa} αὐτός^{rpams} περί^{p} ὁ^{dgns} ῥῆμα^{ngns} οὗτος^{rdgns}. **v.46** εἰσέρχομαι^{viaa3s} δέ^{c} διαλογισμός^{nnms} ἐν^{p} αὐτός^{rpdmp} ὁ^{dnns} τίς^{rqnms} ἄν^{xo} εἰμί^{vopx3s} μέγας^{anmsc} αὐτός^{rpgmp}. **v.47** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ὁράω^{vpaanms} ὁ^{dams} διαλογισμός^{nams} ὁ^{dgfs} καρδία^{ngfs} αὐτός^{rpgmp} ἐπιλαμβάνομαι^{vpadnms} παιδίον^{ngns} ἵστημι^{viaa3s} αὐτός^{rpans} παρά^{p} ἑαυτοῦ^{rxdms}. **v.48** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὅς^{rrnms} ἐάν^{qo} δέχομαι^{vsad3s} οὗτος^{rdans} ὁ^{dans} παιδίον^{nans} ἐπί^{p} ὁ^{ddns} ὄνομα^{ndns} ἐγώ$^{rpg-s}$ ἐγώ$^{rpa-s}$ δέχομαι^{vipn3s} καί^{c} ὅς^{rrnms} ἐάν^{qo} ἐγώ$^{rpa-s}$ δέχομαι^{vsad3s} δέχομαι^{vipn3s} ὁ^{dams} ἀποστέλλω^{vpaaams} ἐγώ$^{rpa-s}$ ὁ^{dnms} γάρ^{c} μικρός^{anmsc} ἐν^{p} πᾶς^{admpn} σύ$^{rpd-p}$ ὑπάρχω^{vppanms} οὗτος^{rdnms} εἰμί^{vifx3s} μέγας^{anmsn}. **v.49** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Ἰωάννης^{nnms} λέγω^{viaa3s} ἐπιστάτης^{nvms} ὁράω^{viaa1p} τι-σριαμσ ἐπί^{p} ὁ^{ddns} ὄνομα^{ndns} σύ$^{rpg-s}$ ἐκβάλλω^{vppaams} ὁ^{danp} δαιμόνιον^{nanp} καί^{c} κωλύω^{viaa1p} αὐτός^{rpams} ὅτι^{c} οὐ^{xo} ἀκολουθέω^{vipa3s} μετά^{p} ἐγώ$^{rpg-p}$. **v.50** καί^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnms} Ἰησοῦς^{nnms} μή^{xo} κωλύω^{vdpa2p} ὅς^{rrnms} γάρ^{c} οὐ^{xo} εἰμί^{vipx3s} κατά^{p} ἐγώ$^{rpg-p}$ ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ εἰμί^{vipx3s}. **v.51** γίνομαι^{viad3s} δέ^{c} ἐν^{p} ὁ^{ddms} συμπληρόω^{vnpp} ὁ^{dafp} ἡμέρα^{nafp} ὁ^{dgfs} ἀνάλημψις^{ngfs} αὐτός^{rpgms} καί^{c} αὐτός^{rpnms} ὁ^{dans} πρόσωπον^{nans} αὐτός^{rpgms} στηρίζω^{viaa3s} ὁ^{dgms} πορεύομαι^{vnpn} εἰς^{p} Ἰερουσαλήμ^{tp}. **v.52** καί^{c} ἀποστέλλω^{viaa3s} ἄγγελος^{namp} πρό^{p} πρόσωπον^{ngns} αὐτός^{rpgms} καί^{c} πορεύομαι^{vpaonmp} εἰσέρχομαι^{viaa3p} εἰς^{p} κώμη^{nafs} Σαμαρίτης^{ngmp} ὥστε^{c} ἑτοιμάζω^{vnaa} αὐτός^{rpdms}.

πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἰερουσαλήμ. ἰδόντες δὲ 54
οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης εἶπον, Κύριε θέλεις εἴ-
πωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς
ὡς καὶ Ἠλίας ἐποίησεν. στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς καὶ 55
εἶπεν, Οὐκ οἰδατε οἵου πνεύματός ἐστε ὑμεῖς, ὁ γὰρ υἱὸς τοῦ 56
ἀνθρώπου οὐκ ἦλθεν ψυχὰς ἀνθρώπων ἀπολέσαι, αλλα σῶσαι.
καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. Ἐγένετο δὲ πορευομένων 57
αὐτῶν ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς αὐτόν Ἀκολουθήσω σοι ὅπου
ἂν ἀπέρχῃ Κύριε. καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς Αἱ ἀλώπεκες φω- 58
λεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις ὁ
δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Εἶ- 59
πεν δὲ πρὸς ἕτερον Ἀκολούθει μοι ὁ δὲ εἶπεν Κύριε ἐπίτρεψόν
μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. εἶπεν δὲ αὐτῷ 60
ὁ Ἰησοῦς, Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς σὺ
δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ. Εἶπεν δὲ καὶ 61
ἕτερος Ἀκολουθήσω σοι κύριε, πρῶτον δὲ ἐπίτρεψόν μοι ἀπο-
τάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. εἶπεν δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς 62
Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ ἄροτρον καὶ βλέπων εἰς
τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος καὶ ἑτέρους ἑβδομήκοντα **10**
καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶ-

---

v.53 καί^{c} οὐ^{xo} δέχομαι^{viad3p} αὐτός^{rpams} ὅτι^{c} ὁ^{dnns} πρόσωπον^{nnns} αὐτός^{rpgms} εἰμί^{viix3s} πορεύομαι^{vppnnns} εἰς^{p} Ἰερουσαλήμ^{tp}. **v.54** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} Ἰάκωβος^{nnms} καί^{c} Ἰωάννης^{nnms} λέγω^{viaa3p} κύριος^{nvms} θέλω^{vipa2s} λέγω^{vsaa1p} πῦρ^{nans} καταβαίνω^{vnaa} ἀπό^{p} ὁ^{dgms} οὐρανός^{ngms} καί^{c} ἀναλίσκω^{vnaa} αὐτός^{rpamp} ὡς^{bo} καί^{c} Ἠλίας^{nnms} ποιέω^{viaa3s}. **v.55** στρέφω^{vpapnms} δέ^{c} ἐπιτιμάω^{viaa3s} αὐτός^{rpdmp} καί^{c} λέγω^{viaa3s} οὐ^{xo} οἶδα^{vixa2p} οἷος^{rcgns} πνεῦμα^{ngns} εἰμί^{vipx2p} σύ$^{rpn-p}$. **v.56** ὁ^{dnms} γάρ^{c} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} οὐ^{xo} ἔρχομαι^{viaa3s} ψυχή^{nafp} ἄνθρωπος^{ngmp} ἀπόλλυμι^{vnaa} ἀλλά^{c} σῴζω^{vnaa} καί^{c} πορεύομαι^{viao3p} εἰς^{p} ἕτερος^{aafsn} κώμη^{nafs}. **v.57** γίνομαι^{viad3s} δέ^{c} πορεύομαι^{vppngmp} αὐτός^{rpgmp} ἐν^{p} ὁ^{ddfs} ὁδός^{ndfs} λέγω^{viaa3s} τι-σρινμσ πρός^{p} αὐτός^{rpams} ἀκολουθέω^{vifa1s} σύ$^{rpd-s}$ ὅπου^{bo} ἄν^{xo} ἀπέρχομαι^{vspn2s} κύριος^{nvms}. **v.58** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dnfp} ἀλώπηξ^{nnfp} φωλεός^{namp} ἔχω^{vipa3p} καί^{c} ὁ^{dnnp} πετεινός^{nnnp} ὁ^{dgms} οὐρανός^{ngms} κατασκήνωσις^{nafp} ὁ^{dnms} δέ^{c} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} οὐ^{xo} ἔχω^{vipa3s} ποῦ^{xo} ὁ^{dafs} κεφαλή^{nafs} κλίνω^{vspa3s}. **v.59** λέγω^{viaa3s} δέ^{c} πρός^{p} ἕτερος^{aamsn} ἀκολουθέω^{vdpa2s} ἐγώ$^{rpd-s}$ ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} κύριος^{nvms} ἐπιτρέπω^{vdaa2s} ἐγώ$^{rpd-s}$ ἀπέρχομαι^{vpaadms} πρῶτος^{bo} θάπτω^{vnaa} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg-s}$. **v.60** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀφίημι^{vdaa2s} ὁ^{damp} νεκρός^{aampn} θάπτω^{vnaa} ὁ^{damp} ἑαυτοῦ^{rxgmp} νεκρός^{aampn} σύ$^{rpn-s}$ δέ^{c} ἀπέρχομαι^{vpaanms} διαγγέλλω^{vdpa2s} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.61** λέγω^{viaa3s} δέ^{c} καί^{c} ἕτερος^{anmsn} ἀκολουθέω^{vifa1s} σύ$^{rpd-s}$ κύριος^{nvms} πρῶτος^{bo} δέ^{c} ἐπιτρέπω^{vdaa2s} ἐγώ$^{rpd-s}$ ἀποτάσσω^{vnam} ὁ^{ddmp} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ἐγώ$^{rpg-s}$. **v.62** λέγω^{viaa3s} δέ^{c} πρός^{p} αὐτός^{rpams} ὁ^{dnms} Ἰησοῦς^{nnms} οὐδείς^{anfsn} ἐπιβάλλω^{vpaanms} ὁ^{dafs} χείρ^{nafs} αὐτός^{rpgms} ἐπί^{p} ἄροτρον^{nans} καί^{c} βλέπω^{vppanms} εἰς^{p} ὁ^{danp} ὀπίσω^{bo} εὔθετος^{anmsn} εἰμί^{vipx3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms}.

2 σαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι. ἔλεγεν οὖν
πρὸς αὐτούς Ὁ μὲν θερισμὸς πολύς οἱ δὲ ἐργάται ὀλίγοι, δεή-
θητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς
3 τὸν θερισμὸν αὐτοῦ. ὑπάγετε, ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς
4 ἄρνας ἐν μέσῳ λύκων. μὴ βαστάζετε βαλάντιον, μὴ πήραν μη-
5 δὲ ὑποδήματα καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. εἰς ἣν
δ ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε Εἰρήνη τῷ οἴκῳ τούτῳ.
6 καὶ ἐὰν μέν ᾖ ἐκεῖ υἱὸς εἰρήνης ἐπαναπαύσεται ἐπ αὐτὸν ἡ
7 εἰρήνη ὑμῶν, εἰ δὲ μήγε, ἐφ ὑμᾶς ἀνακάμψει. ἐν αὐτῇ δὲ τῇ
οἰκίᾳ μένετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ αὐτῶν, ἄξιος γὰρ ὁ
ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστίν μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς
8 οἰκίαν. καὶ εἰς ἣν δ ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς
9 ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν. καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ
ἀσθενεῖς καὶ λέγετε αὐτοῖς Ἤγγικεν ἐφ ὑμᾶς ἡ βασιλεία τοῦ
10 θεοῦ. εἰς ἣν δ ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς
11 ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς εἴπατε. Καὶ τὸν κονιορτὸν
τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν ἀπομασσόμεθα ὑμῖν,
πλὴν τοῦτο γινώσκετε ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.
12 λέγω δὲ ὑμῖν ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔ-
13 σται ἢ τῇ πόλει ἐκείνῃ. Οὐαί σοι Χωραζίν οὐαί σοι Βηθσαϊδά,
ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγε᾽νοντο, αἱ δυνάμεις αἱ γενόμεναι

---

10. **v.1** μετάᵖ δέᶜ οὗτοςʳᵈᵃⁿᵖ ἀναδείκνυμιᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢ καίᶜ ἕτεροςᵃᵃᵐᵖⁿ ἑβδομήκονταᵗⁿ καίᶜ ἀποστέλλωᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵃᵐᵖ ἀνάᵖ δύοᵗⁿ πρόᵖ πρόσωπονⁿᵍⁿˢ αὐτόςʳᵖᵍᵐˢ εἰςᵖ πᾶςᵃᵃᶠˢⁿ πόλιςⁿᵃᶠˢ καίᶜ τόποςⁿᵃᵐˢ ὅςʳʳᵍᵐˢ μέλλωᵛⁱⁱᵃ³ˢ αὐτόςʳᵖⁿᵐˢ ἔρχομαιᵛⁿᵖⁿ. **v.2** λέγωᵛⁱⁱᵃ³ˢ οὖνᶜ πρόςᵖ αὐτόςʳᵖᵃᵐᵖ ὁᵈⁿᵐˢ μένˣᵒ θερισμόςⁿⁿᵐˢ πολύςᵃⁿᵐˢⁿ ὁᵈⁿᵐᵖ δέᶜ ἐργάτηςⁿⁿᵐᵖ ὀλίγοςᵃⁿᵐᵖⁿ δέομαιᵛᵈᵃᵒ²ᵖ οὖνᶜ ὁᵈᵍᵐˢ κύριοςⁿᵍᵐˢ ὁᵈᵍᵐˢ θερισμόςⁿᵍᵐˢ ὅπωςᵇᵒ ἐκβάλλωᵛˢᵖᵃ³ˢ ἐργάτηςⁿᵃᵐᵖ εἰςᵖ ὁᵈᵃᵐˢ θερισμόςⁿᵃᵐˢ αὐτόςʳᵖᵍᵐˢ. **v.3** ὑπάγωᵛᵈᵖᵃ²ᵖ ἰδούᵛᵈᵃᵃ²ˢ ἐγώʳᵖⁿ⁻ˢ ἀποστέλλωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵃ⁻ᵖ ὡςᵇᵒ ἀρήνⁿᵃᵐᵖ ἐνᵖ μέσοςᵃᵈⁿˢⁿ λύκοςⁿᵍᵐᵖ. **v.4** μήˣᵒ βαστάζωᵛᵈᵖᵃ²ᵖ βαλλάντιονⁿᵃⁿˢ μήˣᵒ πήραⁿᵃᶠˢ μηδέᶜ ὑπόδημαⁿᵃⁿᵖ καίᶜ μηδείςᵃᵃᵐˢⁿ κατάᵖ ὁᵈᵃᶠˢ ὁδόςⁿᵃᶠˢ ἀσπάζομαιᵛˢᵃᵈ²ᵖ. **v.5** εἰςᵖ ὅςʳʳᵃᶠˢ δέᶜ ἄνˣᵒ οἰκίαⁿᵃᶠˢ εἰσέρχομαιᵛˢᵖⁿ²ᵖ πρῶτοςᵇᵒ λέγωᵛᵈᵖᵃ²ᵖ εἰρήνηⁿⁿᶠˢ ὁᵈᵈᵐˢ οἶκοςⁿᵈᵐˢ οὗτοςʳᵈᵈᵐˢ. **v.6** καίᶜ ἐάνᵠᵒ μένˣᵒ εἰμίᵛˢᵖˣ³ˢ ἐκεῖᵇᵒ υἱόςⁿⁿᵐˢ εἰρήνηⁿᵍᶠˢ ἐπαναπαύομαιᵛⁱᶠᵈ³ˢ ἐπίᵖ αὐτόςʳᵖᵃᵐˢ ὁᵈⁿᶠˢ εἰρήνηⁿⁿᶠˢ σύʳᵖᵍ⁻ᵖ εἰᵠᵒ δέᶜ μήˣᵒ ἐπίᵖ σύʳᵖᵃ⁻ᵖ ἀνακάμπτωᵛⁱᶠᵃ³ˢ. **v.7** ἐνᵖ αὐτόςʳᵖᵈᶠˢ δέᶜ ὁᵈᵈᶠˢ οἰκίαⁿᵈᶠˢ μένωᵛᵈᵖᵃ²ᵖ ἐσθίωᵛᵖᵖᵃⁿᵐᵖ καίᶜ πίνωᵛᵖᵖᵃⁿᵐᵖ ὁᵈᵃⁿᵖ παράᵖ αὐτόςʳᵖᵍᵐᵖ ἄξιοςᵃⁿᵐˢⁿ γάρᶜ ὁᵈⁿᵐˢ ἐργάτηςⁿⁿᵐˢ ὁᵈᵍᵐˢ μισθόςⁿᵍᵐˢ αὐτόςʳᵖᵍᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ μήˣᵒ μεταβαίνωᵛᵈᵖᵃ²ᵖ ἐκᵖ οἰκίαⁿᵍᶠˢ εἰςᵖ οἰκίαⁿᵃᶠˢ. **v.8** καίᶜ εἰςᵖ ὅςʳʳᵃᶠˢ δέᶜ ἄνˣᵒ πόλιςⁿᵃᶠˢ εἰσέρχομαιᵛˢᵖⁿ²ᵖ καίᶜ δέχομαιᵛˢᵖⁿ³ᵖ σύʳᵖᵃ⁻ᵖ ἐσθίωᵛᵈᵖᵃ²ᵖ ὁᵈᵃⁿᵖ παρατίθημιᵛᵖᵖᵖᵃⁿᵖ σύʳᵖᵈ⁻ᵖ. **v.9** καίᶜ θεραπεύωᵛᵈᵖᵃ²ᵖ ὁᵈᵃᵐᵖ ἐνᵖ αὐτόςʳᵖᵈᶠˢ ἀσθενήςᵃᵃᵐᵖⁿ καίᶜ λέγωᵛᵈᵖᵃ²ᵖ αὐτόςʳᵖᵈᵐᵖ ἐγγίζωᵛⁱˣᵃ³ˢ ἐπίᵖ σύʳᵖᵃ⁻ᵖ ὁᵈⁿᶠˢ βασιλείαⁿⁿᶠˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ. **v.10** εἰςᵖ ὅςʳʳᵃᶠˢ δέᶜ ἄνˣᵒ πόλιςⁿᵃᶠˢ εἰσέρχομαιᵛˢᵖⁿ²ᵖ καίᶜ μήˣᵒ δέχομαιᵛˢᵖⁿ³ᵖ σύʳᵖᵃ⁻ᵖ ἐξέρχομαιᵛᵖᵃᵃⁿᵐᵖ εἰςᵖ ὁᵈᶠᵖ πλατύςⁿᵃᶠᵖ αὐτόςʳᵖᵍᶠˢ λέγωᵛᵈᵃᵃ²ᵖ. **v.11** καίᶜ ὁᵈᵃᵐˢ κονιορτόςⁿᵃᵐˢ ὁᵈᵃᵐˢ κολλάωᵛᵖᵃᵖᵃᵐˢ ἐγώʳᵖᵈ⁻ᵖ ἐκᵖ ὁᵈᵍᶠˢ πόλιςⁿᵍᶠˢ σύʳᵖᵍ⁻ᵖ ἀπομάσσωᵛⁱᵖᵐ¹ᵖ σύʳᵖᵈ⁻ᵖ πλήνᵇᵒ οὗτοςʳᵈᵃⁿˢ γινώσκωᵛᵈᵖᵃ²ᵖ ὅτιᶜ ἐγγίζωᵛⁱˣᵃ³ˢ ἐπίᵖ σύʳᵖᵃ⁻ᵖ ὁᵈⁿᶠˢ βασιλείαⁿⁿᶠˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ. **v.12** λέγωᵛⁱᵖᵃ¹ˢ δέᶜ σύʳᵖᵈ⁻ᵖ ὅτιᶜ Σόδομαⁿᵈⁿᵖ ἐνᵖ ὁᵈᵈᶠˢ ἡμέραⁿᵈᶠˢ ἐκεῖνοςʳᵈᵈᶠˢ ἀνεκτόςᵃⁿⁿˢᶜ εἰμίᵛⁱᶠˣ³ˢ ᾗˣᵒ ὁᵈᵈᶠˢ πόλιςⁿᵈᶠˢ ἐκεῖνοςʳᵈᵈᶠˢ.

ἐν ὑμῖν πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν.
πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν. 14
καὶ σύ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου 15
καταβιβασθήσῃ. Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει καὶ ὁ ἀθετῶν 16
ὑμᾶς ἐμὲ ἀθετεῖ, ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.
Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες Κύριε 17
καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. εἶπεν 18
δὲ αὐτοῖς Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ
πεσόντα. ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄ- 19
φεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ
οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. πλὴν ἐν τούτῳ μὴ χαίρετε ὅτι τὰ 20
πνεύματα ὑμῖν ὑποτάσσεται χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα
ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο 21
τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν Ἐξομολογοῦμαί σοι πάτερ
κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σο-
φῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις, ναί ὁ πατήρ
ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. καὶ στραφεὶς πρός 22
τούς μαθητάς εἶπεν Πάντα παρεδόθη μοι ὑπὸ τοῦ πατρός μου
καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς εἰ μὴ ὁ πατήρ καὶ τίς ἐστιν
ὁ πατὴρ εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

---

v.13 οὐαί^{i} σύ$^{rpd\text{-}s}$ Χοραζίν^{tp} οὐαί^{i} σύ$^{rpd\text{-}s}$ Βηθσαϊδά^{tp} ὅτι^{c} εἰ^{qo} ἐν^{p} Τύρος^{ndfs} καί^{c} Σιδών^{ndfs} γίνομαι^{viad3p} ὁ^{dnfp} δύναμις^{nnfp} ὁ^{dnfp} γίνομαι^{vpadnfp} ἐν^{p} σύ$^{rpd\text{-}p}$ πάλαι^{bo} ἄν^{xo} ἐν^{p} σάκκος^{ndms} καί^{c} σποδός^{ndms} κάθημαι^{vppnnfp} μετανοέω^{viaa3p}. **v.14** πλήν^{bo} Τύρος^{ndfs} καί^{c} Σιδών^{ndfs} ἀνεκτός^{annsc} εἰμί^{vifx3s} ἐν^{p} ὁ^{ddfs} κρίσις^{ndfs} ἤ^{xo} σύ$^{rpd\text{-}p}$. **v.15** καί^{c} σύ$^{rpn\text{-}s}$ Καπερναούμ^{tp} ὁ^{dnfs} ἕως^{c} ὁ^{dgms} οὐρανός^{ngms} ὑψόω^{vpapnfs} ἕως^{c} ᾅδης^{ngms} καταβιβάζω^{vifp2s}. **v.16** ὁ^{dnms} ἀκούω^{vppanms} σύ$^{rpg\text{-}p}$ ἐγώ$^{rpg\text{-}s}$ ἀκούω^{vipa3s} καί^{c} ὁ^{dnms} ἀθετέω^{vppanms} σύ$^{rpa\text{-}p}$ ἐγώ$^{rpa\text{-}s}$ ἀθετέω^{vipa3s} ὁ^{dnms} δέ^{c} ἐγώ$^{rpa\text{-}s}$ ἀθετέω^{vppanms} ἀθετέω^{vipa3s} ὁ^{dams} ἀποστέλλω^{vpaaams} ἐγώ$^{rpa\text{-}s}$. **v.17** ὑποστρέφω^{viaa3p} δέ^{c} ὁ^{dnmp} ἑβδομήκοντα^{tn} μετά^{p} χαρά^{ngfs} λέγω^{vppanmp} κύριος^{nvms} καί^{c} ὁ^{dnnp} δαιμόνιον^{nnnp} ὑποτάσσω^{vipp3s} ἐγώ$^{rpd\text{-}p}$ ἐν^{p} ὁ^{ddns} ὄνομα^{ndns} σύ$^{rpg\text{-}s}$. **v.18** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdmp} θεωρέω^{viia1p} ὁ^{dams} Σατανᾶς^{nams} ὡς^{bo} ἀστραπή^{nafs} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} πίπτω^{vpaaams}. **v.19** ἰδού^{vdaa2s} δίδωμι^{vipa1s} σύ$^{rpd\text{-}p}$ ὁ^{dafs} ἐξουσία^{nafs} ὁ^{dgms} πατέω^{vnpa} ἐπάνω^{bo} ὄφις^{ngmp} καί^{c} σκορπίος^{ngmp} καί^{c} ἐπί^{p} πᾶς^{aafsn} ὁ^{dafs} δύναμις^{nafs} ὁ^{dgms} ἐχθρός^{agmsn} καί^{c} οὐδείς^{aansn} σύ$^{rpa\text{-}p}$ οὐ^{xo} μή^{xo} ἀδικέω^{vsaa3s}. **v.20** πλήν^{bo} ἐν^{p} οὗτος^{rddns} μή^{xo} χαίρω^{vdpa2p} ὅτι^{c} ὁ^{dnnp} πνεῦμα^{nnnp} σύ$^{rpd\text{-}p}$ ὑποτάσσω^{vipp3s} χαίρω^{vdpa2p} δέ^{c} μᾶλλον^{bo} ὅτι^{c} ὁ^{dnnp} ὄνομα^{nnnp} σύ$^{rpg\text{-}p}$ γράφω^{viap3s} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp}. **v.21** ἐν^{p} αὐτός^{rpdfs} ὁ^{ddfs} ὥρα^{ndfs} ἀγαλλιάω^{viad3s} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} ἐξομολογέω^{vipm1s} σύ$^{rpd\text{-}s}$ πατήρ^{nvms} κύριος^{nvms} ὁ^{dgms} οὐρανός^{ngms} καί^{c} ὁ^{dgfs} γῆ^{ngfs} ὅτι^{c} ἀποκρύπτω^{viaa2s} οὗτος^{rdanp} ἀπό^{p} σοφός^{agmpn} καί^{c} συνετός^{agmpn} καί^{c} ἀποκαλύπτω^{viaa2s} αὐτός^{rpanp} νήπιος^{admpn} ναί^{xo} ὁ^{dnms} πατήρ^{nnms} ὅτι^{c} οὕτω^{bo} γίνομαι^{viad3s} εὐδοκία^{nnfs} ἔμπροσθεν^{p} σύ$^{rpg\text{-}s}$. **v.22** καί^{c} στρέφω^{vpapnms} πρός^{p} ὁ^{damp} μαθητής^{namp} λέγω^{viaa3s} πᾶς^{annpn} παραδίδωμι^{viap3s} ἐγώ$^{rpd\text{-}s}$ ὑπό^{p} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg\text{-}s}$ καί^{c} οὐδείς^{anfsn} γινώσκω^{vipa3s} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} εἰ^{qo} μή^{xo} ὁ^{dnms} πατήρ^{nnms} καί^{c} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} πατήρ^{nnms} εἰ^{qo} μή^{xo} ὁ^{dnms} υἱός^{nnms} καί^{c} ὅς^{rrdms} ἐάν^{qo} βούλομαι^{vspn3s} ὁ^{dnms} υἱός^{nnms} ἀποκαλύπτω^{vnaa}.

23 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς κατ ἰδίαν εἶπεν Μακάριοι οἱ
24 ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ
προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε καὶ οὐκ
25 εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν. Καὶ ἰδοὺ
νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν Καὶ λέγων Διδάσκαλε τί
26 ποιήσας ζωὴν αἰώνιον κληρονομήσω. ὁ δὲ εἶπεν πρὸς αὐτόν
27 Ἐν τῷ νόμῳ τί γέγραπται πῶς ἀναγινώσκεις. ὁ δὲ ἀποκριθεὶς
εἶπεν Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ
28 ὅλης τῆς διανοίας σου καὶ τὸν πλησίον σου ὡς σεαυτόν. εἶπεν
29 δὲ αὐτῷ Ὀρθῶς ἀπεκρίθης, τοῦτο ποίει καὶ ζήσῃ. ὁ δὲ θέ-
λων δικαιοῦν ἑαυτὸν εἶπεν πρὸς τὸν Ἰησοῦν Καὶ τίς ἐστίν μου
30 πλησίον. ὑπολαβὼν δέ ὁ Ἰησοῦς εἶπεν Ἄνθρωπός τις κατέ-
βαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ καὶ λῃσταῖς περιέπεσεν οἳ
καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες
31 ἡμιθανῆ τυγχάνοντα. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαι-
32 νεν ἐν τῇ ὁδῷ ἐκείνῃ καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν, ὁμοίως δὲ
καὶ Λευίτης γενόμενος κατὰ τὸν τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπα-
33 ρῆλθεν. Σαμαρείτης δέ τις ὁδεύων ἦλθεν κατ αὐτὸν καὶ ἰδὼν
34 αὐτὸν, ἐσπλαγχνίσθη. καὶ προσελθὼν κατέδησεν τὰ τραύ-
ματα αὐτοῦ ἐπιχέων ἔλαιον καὶ οἶνον ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ

---

v.23 καί^{c} στρέφω^{vpapnms} πρός^{p} ὁ^{damp} μαθητής^{namp} κατά^{p} ἴδιος^{aafsn} λέγω^{viaa3s} μακάριος^{anmpn} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} ὁ^{dnmp} βλέπω^{vppanmp} ὅς^{rranp} βλέπω^{vipa2p}. **v.24** λέγω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} πολύς^{anmpn} προφήτης^{nnmp} καί^{c} βασιλεύς^{nnmp} θέλω^{viaa3p} ὁράω^{vnaa} ὅς^{rranp} σύ$^{rpn-p}$ βλέπω^{vipa2p} καί^{c} οὐ^{xo} ὁράω^{viaa3p} καί^{c} ἀκούω^{vnaa} ὅς^{rranp} ἀκούω^{vipa2p} καί^{c} οὐ^{xo} ἀκούω^{viaa3p}. **v.25** καί^{c} ἰδού^{vdaa2s} νομικός^{anmsn} τι-σρινμσ ἀνίστημι^{viaa3s} ἐκπειράζω^{vppanms} αὐτός^{rpams} καί^{c} λέγω^{vppanms} διδάσκαλος^{nvms} τίς^{rqans} ποιέω^{vpaanms} ζωή^{nafs} αἰώνιος^{aafsn} κληρονομέω^{vifa1s}. **v.26** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddms} νόμος^{ndms} τίς^{rqans} γράφω^{vixp3s} πῶς^{bo} ἀναγινώσκω^{vipa2s}. **v.27** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} ἀγαπάω^{vifa2s} κύριος^{nams} ὁ^{dams} θεός^{nams} σύ$^{rpg-s}$ ἐκ^{p} ὅλος^{agfsn} ὁ^{dgfs} καρδία^{ngfs} σύ$^{rpg-s}$ καί^{c} ἐκ^{p} ὅλος^{agfsn} ὁ^{dgfs} ψυχή^{ngfs} σύ$^{rpg-s}$ καί^{c} ἐκ^{p} ὅλος^{agfsn} ὁ^{dgfs} ἰσχύς^{ngfs} σύ$^{rpg-s}$ καί^{c} ἐκ^{p} ὅλος^{agfsn} ὁ^{dgfs} διάνοια^{ngfs} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dams} πλησίον^{bo} σύ$^{rpg-s}$ ὡς^{bo} σεαυτοῦ^{rxams}. **v.28** λέγω^{viaa3s} δέ^{c} αὐτός^{rpdms} ὀρθῶς^{bo} ἀποκρίνομαι^{viad2s} οὗτος^{rdans} ποιέω^{vdpa2s} καί^{c} ζάω^{vifa2s}. **v.29** ὁ^{dnms} δέ^{c} θέλω^{vppanms} δικαιόω^{vnpa} ἑαυτοῦ^{rxams} λέγω^{viaa3s} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} τίς^{rqnms} εἰμί^{vipx3s} ἐγώ$^{rpg-s}$ πλησίον^{bo}. **v.30** ὑπολαμβάνω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} ἄνθρωπος^{nnms} τι-σρινμσ καταβαίνω^{viia3s} ἀπό^{p} Ἰερουσαλήμ^{tp} εἰς^{p} Ἰεριχώ^{tp} καί^{c} λῃστής^{ndmp} περιπίπτω^{viaa3s} ὅς^{rrnmp} καί^{c} ἐκδύω^{vpaanmp} αὐτός^{rpams} καί^{c} πληγή^{nafp} ἐπιτίθημι^{vpaanmp} ἀπέρχομαι^{viaa3p} ἀφίημι^{vpaanmp} ἡμιθανής^{aamsn} τυγχάνω^{vppaams}. **v.31** κατά^{p} συγκυρία^{nafs} δέ^{c} ἱερεύς^{nnms} τι-σρινμσ καταβαίνω^{viia3s} ἐν^{p} ὁ^{ddfs} ὁδός^{ndfs} ἐκεῖνος^{rddfs} καί^{c} ὁράω^{vpaanms} αὐτός^{rpams} ἀντιπαρέρχομαι^{viaa3s}. **v.32** ὁμοίως^{bo} δέ^{c} καί^{c} Λευίτης^{nnms} γίνομαι^{vpadnms} κατά^{p} ὁ^{dams} τόπος^{nams} ἔρχομαι^{vpaanms} καί^{c} ὁράω^{vpaanms} ἀντιπαρέρχομαι^{viaa3s}. **v.33** Σαμαρίτης^{nnms} δέ^{c} τι-σρινμσ ὁδεύω^{vppanms} ἔρχομαι^{viaa3s} κατά^{p} αὐτός^{rpams} καί^{c} ὁράω^{vpaanms} αὐτός^{rpams} σπλαγχνίζομαι^{viao3s}.

τὸ ἴδιον κτῆνος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη
αὐτοῦ. καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔ- 35
δωκεν τῷ πανδοχεῖ καὶ εἶπεν αὐτῷ, Ἐπιμελήθητι αὐτοῦ καὶ ὅ τι
ἂν προσδαπανήσῃς ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.
τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμ- 36
πεσόντος εἰς τοὺς λῃστάς. ὁ δὲ εἶπεν Ὁ ποιήσας τὸ ἔλεος μετ 37
αὐτοῦ εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς Πορεύου καὶ σὺ ποίει ὁμοίως.
Ἐγένετο δὲ Ἐν τῷ πορεύεσθαι αὐτοὺς καὶ αὐτὸς εἰσῆλθεν εἰς 38
κώμην τινά, γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτόν εἰς
τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαριά, ἣ καὶ 39
παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουεν τὸν λόγον
αὐτοῦ. ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν, ἐ- 40
πιστᾶσα δὲ εἶπεν Κύριε οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην
με κατέλιπεν διακονεῖν εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.
ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Μάρθα Μάρθα μεριμνᾷς 41
καὶ τυρβάζῃ περὶ πολλά. ἑνὸς δέ ἐστιν χρεία, Μαριὰ δέ τὴν 42
ἀγαθὴν μερίδα ἐξελέξατο ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς.

Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον **11**
ὡς ἐπαύσατο εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν Κύριε
δίδαξον ἡμᾶς προσεύχεσθαι καθὼς καὶ Ἰωάννης ἐδίδαξεν τοὺς

---

30 δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα. μηνυθείσης δέ
μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μελλείν ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων,
ἐξαυτῆς ἔπεμψα πρὸς σέ παραγγείλας καὶ τοῖς κατηγόροις λέ-
31 γειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ Ἔρρωσο. Οἱ μὲν οὖν στρατιῶται
κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον ἤγαγον
32 διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντιπατρίδα. τῇ δὲ ἐπαύριον ἐάσαντες

---

v.21 σύ[rpn-s] οὖν[c] μή[xo] πείθω[vsap2s] αὐτός[rpdmp] ἐνεδρεύω[vipa3p] γάρ[c] αὐτός[rpams] ἐκ[p] αὐτός[rpgmp] ἀνήρ[nnmp] πολύς[anmpc] τεσσεράκοντα[tn] ὅστις[rrnmp] ἀναθεματίζω[viaa3p] ἑαυτοῦ[rxamp] μήτε[c] ἐσθίω[vnaa] μήτε[c] πίνω[vnaa] ἕως[c] ὅς[bo] ἀναιρέω[vsaa3p] αὐτός[rpams] καί[c] νῦν[bo] ἕτοιμος[anmpn] εἰμί[vipx3p] προσδέχομαι[vppnnmp] ὁ[dafs] ἀπό[p] σύ[rpg-s] ἐπαγγελία[nafs]. **v.22** ὁ[dnms] μέν[xo] οὖν[c] χιλίαρξος[nnms] ἀπολύω[viaa3s] ὁ[dams] νεανίας[nams] παραγγέλλω[vpaanms] μηδείς[admsn] ἐκλαλέω[vnaa] ὅτι[c] οὗτος[rdanp] ἐμφανίζω[viaa2s] πρός[p] ἐγώ[rpa-s]. **v.23** καί[c] προσκαλέομαι[vpadnms] δύο[tn] τι-
-σριαμπ ὁ[dgmp] ἑκατοντάρχης[ngmp] λέγω[viaa3s] ἑτοιμάζω[vdaa2p] στρατιώτης[namp] διακόσιοι[namp] ὅπως[bo] πορεύομαι[vsao3p] ἕως[c] Καισάρεια[ngfs] καί[c] ἱππεύς[namp] ἑβδομήκοντα[tn] καί[c] δεξιολάβος[namp] διακόσιοι[namp] ἀπό[p] τρίτος[agfsn] ὥρα[ngfs] ὁ[dgfs] νύξ[ngfs]. **v.24** κτῆνος[nanp] τέ[xo] παρίστημι[vnaa] ἵνα[c] ἐπιβιβάζω[vpaanmp] ὁ[dams] Παῦλος[nams] διασῴζω[vsaa3p] πρός[p] Φῆλιξ[nams] ὁ[dams] ἡγεμών[nams]. **v.25** γράφω[vpaanms] ἐπιστολή[nafs] περιέχω[vppaafs] ὁ[dams] τύπος[nams] οὗτος[rdams]. **v.26** Κλαύδιος[nnms] Λυσίας[nnms] ὁ[ddms] κράτιστος[admsn] ἡγεμών[ndms] Φῆλιξ[ndms] χαίρω[vnpa]. **v.27** ὁ[dams] ἀνήρ[nams] οὗτος[rdams] συλλαμβάνω[vpapams] ὑπό[p] ὁ[dgmp] Ἰουδαῖος[agmpn] καί[c] μέλλω[vppaams] ἀναιρέω[vnpp] ὑπό[p] αὐτός[rpgmp] ἐφίστημι[vpaanms] σύν[p] ὁ[ddns] στράτευμα[ndns] ἐξαιρέω[viam1s] αὐτός[rpams] μανθάνω[vpaanms] ὅτι[c] Ῥωμαῖος[anmsn] εἰμί[vipx3s]. **v.28** βούλομαι[vppnnms] δέ[c] γινώσκω[vnaa] ὁ[dafs] αἰτία[nafs] διά[p] ὅς[rrafs] ἐγκαλέω[viia3p] αὐτός[rpdms] κατάγω[viaa1s] αὐτός[rpams] εἰς[p] ὁ[dans] συνέδριον[nans] αὐτός[rpgmp]. **v.29** ὅς[rrams] εὑρίσκω[viaa1s] ἐγκαλέω[vpppams] περί[p] ζήτημα[ngnp] ὁ[dgms] νόμος[ngms] αὐτός[rpgmp] μηδείς[aansn] δέ[c] ἄξιος[aansn] θάνατος[ngms] ἤ[xo] δεσμός[ngmp] ἔγκλημα[nans] ἔχω[vppaams]. **v.30** μηνύω[vpapgfs] δέ[c] ἐγώ[rpd-s] ἐπιβουλή[ngfs] εἰς[p] ὁ[dams] ἀνήρ[nams] μέλλω[vnpa] εἰμί[vnfx] ὑπό[p] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ἑξαυτῆς[bo] πέμπω[viaa1s] πρός[p] σύ[rpa-s] παραγγέλλω[vpaanms] καί[c] ὁ[ddmp] κατήγορος[ndmp] λέγω[vnpa] ὁ[danp] πρός[p] αὐτός[rpams] ἐπί[p] σύ[rpg-s] ῥώννυμαι[vdxp2s]. **v.31** ὁ[dnmp] μέν[xo] οὖν[c] στρατιώτης[nnmp] κατά[p] ὁ[dans] διατάσσω[vpxpans] αὐτός[rpdmp] ἀναλαμβάνω[vpaanmp] ὁ[dams] Παῦλος[nams] ἄγω[viaa3p] διά[p] ὁ[dgfs] νύξ[ngfs] εἰς[p] ὁ[dafs] Ἀντιπατρίς[nafs].

τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ ὑπέστρεψαν εἰς τὴν παρεμ-
βολήν, οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες 33
τὴν ἐπιστολὴν τῷ ἡγεμόνι παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ.
ἀναγνοὺς δὲ ὁ ἡγεμών, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐ- 34
στὶν καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας. Διακούσομαί σου ἔφη 35
ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται, ἐκέλευσεν τε αὐτὸν
ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρῴδου φυλάσσεσθαι.

Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν **24**
πρεσβυτέρων καὶ ῥήτορος Τερτύλλου τινός οἵτινες ἐνεφάνισαν
τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. κληθέντος δὲ αὐτοῦ ἤρξατο κα- 2
τηγορεῖν ὁ Τέρτυλλος λέγων Πολλῆς εἰρήνης τυγχάνοντες διὰ
σοῦ καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς
προνοίας. πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα κράτιστε Φῆ- 3
λιξ μετὰ πάσης εὐχαριστίας. ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω 4
παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. εὑ- 5
ρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσιν πᾶσιν
τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην πρωτοστάτην τε τῆς
τῶν Ναζωραίων αἱρέσεως. ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶ- 6
σαι ὃν καὶ ἐκρατήσαμεν καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελή-
σαμεν κρίνειν. παρελθὼν δὲ Λυσίας ὁ χιλιαρχος μετὰ πολλῆς 7
βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. κελεύσας τούς κατηγό- 8
ρους αὐτοῦ ἔρχεσθαι ἐπί σέ παρ οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας

---

v.32 ὁ^{ddfs} δέ^{c} ἐπαύριον^{bo} ἐάω^{vpaanmp} ὁ^{damp} ἱππεύς^{namp} πορεύομαι^{vnpn} σύν^{p} αὐτός^{rpdms} ὑποστρέφω^{viaa3p} εἰς^{p} ὁ^{dafs} παρεμβολή^{nafs}. **v.33** ὅστις^{rrnmp} εἰσέρχομαι^{vpaanmp} εἰς^{p} ὁ^{dafs} Καισάρεια^{nafs} καί^{c} ἀναδίδωμι^{vpaanmp} ὁ^{dafs} ἐπιστολή^{nafs} ὁ^{ddms} ἡγεμών^{ndms} παρίστημι^{viaa3p} καί^{c} ὁ^{dams} Παῦλος^{nams} αὐτός^{rpdms}. **v.34** ἀναγινώσκω^{vpaanms} δέ^{c} ὁ^{dnms} ἡγεμών^{nnms} καί^{c} ἐπερωτάω^{vpaanms} ἐκ^{p} ποῖος^{rqgfs} ἐπαρχεία^{ngfs} εἰμί^{vipx3s} καί^{c} πυνθάνομαι^{vpadnms} ὅτι^{c} ἀπό^{p} Κιλικία^{ngfs}. **v.35** διακούω^{vifd1s} σύ$^{rpg-s}$ φημί^{viix3s} ὅταν^{c} καί^{c} ὁ^{dnmp} κατήγορος^{nnmp} σύ$^{rpg-s}$ παραγίνομαι^{vsad3p} κελεύω^{viaa3s} τέ^{xo} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddns} πραιτώριον^{ndns} ὁ^{dgms} Ἡρῴδης^{ngms} φυλάσσω^{vnpm}. **24. v.1** μετά^{p} δέ^{c} πέντε^{tn} ἡμέρα^{nafp} καταβαίνω^{viaa3s} ὁ^{dnms} ἀρχιερεύς^{nnms} Ἀνανίας^{nnms} μετά^{p} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} καί^{c} ῥήτωρ^{ngms} Τέρτυλλος^{ngms} τι-σριγμσ ὅστις^{rrnmp} ἐμφανίζω^{viaa3p} ὁ^{ddms} ἡγεμών^{ndms} κατά^{p} ὁ^{dgms} Παῦλος^{ngms}. **v.2** καλέω^{vpapgms} δέ^{c} αὐτός^{rpgms} ἄρχω^{viad3s} κατηγορέω^{vnpa} ὁ^{dnms} Τέρτυλλος^{nnms} λέγω^{vppanms} πολύς^{agfsn} εἰρήνη^{ngfs} τυγχάνω^{vppanmp} διά^{p} σύ$^{rpg-s}$ καί^{c} κατόρθωμα^{ngnp} γίνομαι^{vppngnp} ὁ^{ddns} ἔθνος^{ndns} οὗτος^{rddns} διά^{p} ὁ^{dgfs} σός^{rsgfs} πρόνοια^{ngfs}. **v.3** πάντῃ^{bo} τέ^{xo} καί^{c} πανταχοῦ^{bo} ἀποδέχομαι^{vipn1p} κράτιστος^{avmsn} Φῆλιξ^{nvms} μετά^{p} πᾶς^{agfsn} εὐχαριστία^{ngfs}. **v.4** ἵνα^{c} δέ^{c} μή^{xo} ἐπί^{p} πολύς^{aansc} σύ$^{rpa-s}$ ἐγκόπτω^{vspa1s} παρακαλέω^{vipa1s} ἀκούω^{vnaa} σύ$^{rpa-s}$ ἐγώ$^{rpg-p}$ συντόμως^{bo} ὁ^{ddfs} σός^{rsdfs} ἐπιείκεια^{ndfs}. **v.5** εὑρίσκω^{vpaanmp} γάρ^{c} ὁ^{dams} ἀνήρ^{nams} οὗτος^{rdams} λοιμός^{nams} καί^{c} κινέω^{vppaams} στάσις^{nafs} πᾶς^{admpn} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} ὁ^{ddmp} κατά^{p} ὁ^{dafs} οἰκουμένη^{nafs} πρωτοστάτης^{nams} τέ^{xo} ὁ^{dgfs} ὁ^{dgmp} Ναζωραῖος^{ngmp} αἵρεσις^{ngfs}. **v.6** ὅς^{rrnms} καί^{c} ὁ^{dans} ἱερόν^{nans} πειράζω^{viia3s} βεβηλόω^{vnaa} ὅς^{rrams} καί^{c} κρατέω^{viaa1p} καί^{c} κατά^{p} ὁ^{dams} ἡμέτερος^{rsams} νόμος^{nams} θέλω^{viaa1p} κρίνω^{vnpa}. **v.7** παρέρχομαι^{vpaanms} δέ^{c} Λυσίας^{nnms} ὁ^{dnms} χιλίαρξος^{nnms} μετά^{p} πολύς^{agfsn} βία^{ngfs} ἐκ^{p} ὁ^{dgfp} χείρ^{ngfp} ἐγώ$^{rpg-p}$ ἀπάγω^{viaa3s}.

περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.
9 συνέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν.
10 Ἀπεκρίθη δέ ὁ Παῦλος νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν
Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος
11 εὐθύμοτερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι. δυναμένου σου
γνῶναι ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι ἢ δεκαδύο, ἀφ ἧς ἀνέ-
12 βην προσκυνήσων ἐν Ἰερουσαλήμ. καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν
με πρός τινα διαλεγόμενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου οὔτε
13 ἐν ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν. ο᾽ὐτε παραστῆσαι
14 με δύνανταί περὶ ὧν νῦν κατηγοροῦσίν μου. ὁμολογῶ δὲ τοῦ-
τό σοι ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτως λατρεύω
τῷ πατρῴῳ θεῷ πιστεύων πάσιν τοῖς κατὰ τὸν νόμον καὶ τοῖς
15 προφήταις γεγραμμένοις. ἐλπίδα ἔχων εἰς τὸν θεόν ἣν καὶ
αὐτοὶ οὗτοι προσδέχονται ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν,
16 δικαίων τε καὶ ἀδίκων. ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ ἀπρόσκοπον
συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς ἀνθρώπους διαπαν-
17 τός. δι᾽ ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων
18 εἰς τὸ ἔθνος μου καὶ προσφοράς. ἐν οἷς εὗρόν με ἡγνισμέ-
νον ἐν τῷ ἱερῷ οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου τινές δέ ἀπό
19 τῆς Ἀσίας Ἰουδαῖοί. οὓς δεῖ ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν

---

v.8 κελεύω^{vpaanms} ὁ^{damp} κατήγορος^{namp} αὐτός^{rpgms} ἔρχομαι^{vnpn} ἐπί^{p} σύ$^{rpa-s}$ παρά^{p} ὅς^{rrgms} δύναμαι^{vifd2s} αὐτός^{rpnms} ἀνακρίνω^{vpaanms} περί^{p} πᾶς^{agnpn} οὗτος^{rdgnp} ἐπιγινώσκω^{vnaa} ὅς^{rrgnp} ἐγώ$^{rpn-p}$ κατηγορέω^{vipa1p} αὐτός^{rpgms}. **v.9** συντίθημι^{viam3p} δέ^{c} καί^{c} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} φάσκω^{vppanmp} οὗτος^{rdanp} οὕτω^{bo} ἔχω^{vnpa}. **v.10** ἀποκρίνομαι^{viad3s} δέ^{c} ὁ^{dnms} Παῦλος^{nnms} νεύω^{vpaagms} αὐτός^{rpdms} ὁ^{dgms} ἡγεμών^{ngms} λέγω^{vnpa} ἐκ^{p} πολύς^{agnpn} ἔτος^{ngnp} εἰμί^{vppxams} σύ$^{rpa-s}$ κριτής^{nams} ὁ^{ddns} ἔθνος^{ndns} οὗτος^{rddns} ἐπίσταμαι^{vppnnms} εὐθυμος^{bo} ὁ^{danp} περί^{p} ἐμαυτοῦ^{rxgms} ἀπολογέομαι^{vipn1s}. **v.11** δύναμαι^{vppngms} σύ$^{rpg-s}$ γινώσκω^{vnaa} ὅτι^{c} οὐ^{xo} πολύς^{anfpc} εἰμί^{vipx3p} ἐγώ$^{rpd-s}$ ἡμέρα^{nnfp} ἤ^{xo} δεκαδύο^{tn} ἀπό^{p} ὅς^{rrgfs} ἀναβαίνω^{viaa1s} προσκυνέω^{vpfanms} ἐν^{p} Ἰερουσαλήμ^{tp}. **v.12** καί^{c} οὔτε^{c} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} εὑρίσκω^{viaa3p} ἐγώ$^{rpa-s}$ πρός^{p} τι-σριαμσ διαλέγομαι^{vppnams} ἤ^{xo} ἐπισύστασις^{nafs} ποιέω^{vppaams} ὄχλος^{ngms} οὔτε^{c} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} οὔτε^{c} κατά^{p} ὁ^{dafs} πόλις^{nafs}. **v.13** οὔτε^{c} παρίστημι^{vnaa} ἐγώ$^{rpa-s}$ δύναμαι^{vipn3p} περί^{p} ὅς^{rrgnp} νῦν^{bo} κατηγορέω^{vipa3p} ἐγώ$^{rpg-s}$. **v.14** ὁμολογέω^{vipa1s} δέ^{c} οὗτος^{rdans} σύ$^{rpd-s}$ ὅτι^{c} κατά^{p} ὁ^{dafs} ὁδός^{nafs} ὅς^{rrafs} λέγω^{vipa3p} αἵρεσις^{nafs} οὕτω^{bo} λατρεύω^{vipa1s} ὁ^{ddms} πατρῷος^{admsn} θεός^{ndms} πιστεύω^{vppanms} πᾶς^{adnpn} ὁ^{ddnp} κατά^{p} ὁ^{dams} νόμος^{nams} καί^{c} ὁ^{ddmp} προφήτης^{ndmp} γράφω^{vpxpdnp}. **v.15** ἐλπίς^{nafs} ἔχω^{vppanms} εἰς^{p} ὁ^{dams} θεός^{nams} ὅς^{rrafs} καί^{c} αὐτός^{rpnmp} οὗτος^{rdnmp} προσδέχομαι^{vipn3p} ἀνάστασις^{nafs} μέλλω^{vnpa} εἰμί^{vnfx} νεκρός^{agmpn} δίκαιος^{agmpn} τέ^{xo} καί^{c} ἄδικος^{agmpn}. **v.16** ἐν^{p} οὗτος^{rddns} δέ^{c} αὐτός^{rpnms} ἀσκέω^{vipa1s} ἀπρόσκοπος^{aafsn} συνείδησις^{nafs} ἔχω^{vnpa} πρός^{p} ὁ^{dams} θεός^{nams} καί^{c} ὁ^{damp} ἄνθρωπος^{namp} διά&πᾶς^{bo}. **v.17** διά^{p} ἔτος^{ngnp} δέ^{c} πολύς^{agnpc} παραγίνομαι^{viad1s} ἐλεημοσύνη^{nafp} ποιέω^{vpfanms} εἰς^{p} ὁ^{dans} ἔθνος^{nans} ἐγώ$^{rpg-s}$ καί^{c} προσφορά^{nafp}. **v.18** ἐν^{p} ὅς^{rrdnp} εὑρίσκω^{viaa3p} ἐγώ$^{rpa-s}$ ἁγνίζω^{vpxpams} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} οὐ^{xo} μετά^{p} ὄχλος^{ngms} οὐδέ^{bo} μετά^{p} θόρυβος^{ngms} τίς^{rinmp} δέ^{c} ἀπό^{p} ὁ^{dgfs} Ἀσία^{ngfs} Ἰουδαῖος^{anmpn}.

εἴ τι ἔχοιεν πρὸς μέ. ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν εἴ τί εὗρον ἐν 20
ἐμοὶ ἀδίκημα στάντος μου ἐπὶ τοῦ συνεδρίου. ἢ περὶ μιᾶς 21
ταύτης φωνῆς ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς ὅτι Περὶ ἀναστάσεως
νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν. Ἀκούσας δὲ ταῦτα ὁ 22
Φῆλιξ Ἀνεβάλετο αὐτοὺς ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ
εἶπων, Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ διαγνώσομαι τὰ καθ
ὑμᾶς, διαταξάμενος τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, 23
ἔχειν τε ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν
ἢ προσέρχεσθαι αὐτῷ. Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμε- 24
νος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ Ἰουδαίᾳ
μετεπέμψατο τὸν Παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χρι-
στὸν πίστεως. διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ 25
ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος
γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη Τὸ νῦν ἔχον πορεύου καιρὸν δὲ
μεταλαβὼν μετακαλέσομαί σε. ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρή- 26
ματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτὸν διὸ
καὶ πυκνότερον αὐτὸν, μεταπεμπόμενος ὡμίλει αὐτῷ. Διετίας 27
δὲ πληρωθείσης ἔλαβεν διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον θέ-
λων τε χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ κατέλιπεν
τὸν Παῦλον δεδεμένον.

Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς **25**

---

v.19 ὅς^{rramp} δεῖ^{vipq3s} ἐπί^{p} σύ$^{rpg\text{-}s}$ πάρειμι^{vnpx} καί^{c} κατηγορέω^{vnpa} εἰ^{qo} τι-σριανσ ἔχω^{vopa3p} πρός^{p} ἐγώ$^{rpa\text{-}s}$. **v.20** ἤ^{xo} αὐτός^{rpnmp} οὗτος^{rdnmp} λέγω^{vdaa3p} εἰ^{qo} τίς^{rians} εὑρίσκω^{viaa3p} ἐν^{p} ἐγώ$^{rpd\text{-}s}$ ἀδίκημα^{nans} ἵστημι^{vpaagms} ἐγώ$^{rpg\text{-}s}$ ἐπί^{p} ὁ^{dgns} συνέδριον^{ngns}. **v.21** ἤ^{xo} περί^{p} εἷς^{ngfs} οὗτος^{rdgfs} φωνή^{ngfs} ὅς^{rrgfs} κράζω^{viaa1s} ἵστημι^{vpxanms} ἐν^{p} αὐτός^{rpdmp} ὅτι^{c} περί^{p} ἀνάστασις^{ngfs} νεκρός^{agmpn} ἐγώ$^{rpn\text{-}s}$ κρίνω^{vipp1s} σήμερον^{bo} ὑπό^{p} σύ$^{rpg\text{-}p}$. **v.22** ἀκούω^{vpaanms} δέ^{c} οὗτος^{rdanp} ὁ^{dnms} Φῆλιξ^{nnms} ἀναβάλλω^{viam3s} αὐτός^{rpamp} ἀκριβής^{bo} οἶδα^{vpxanms} ὁ^{danp} περί^{p} ὁ^{dgfs} ὁδός^{ngfs} λέγω^{vpaanms} ὅταν^{c} Λυσίας^{nnms} ὁ^{dnms} χιλίαρξος^{nnms} καταβαίνω^{vsaa3s} διαγινώσκω^{vifd1s} ὁ^{danp} κατά^{p} σύ$^{rpa\text{-}p}$. **v.23** διατάσσω^{vpamnnms} τέ^{xo} ὁ^{ddms} ἑκατοντάρχης^{ndms} τηρέω^{vnpp} ὁ^{dams} Παῦλος^{nams} ἔχω^{vnpa} τέ^{xo} ἄνεσις^{nafs} καί^{c} μηδείς^{aamsn} κωλύω^{vnpa} ὁ^{dgmp} ἴδιος^{agmpn} αὐτός^{rpgms} ὑπηρετέω^{vnpa} ἤ^{xo} προσέρχομαι^{vnpn} αὐτός^{rpdms}. **v.24** μετά^{p} δέ^{c} ἡμέρα^{nafp} τι-σριαφπ παραγίνομαι^{vpadnms} ὁ^{dnms} Φῆλιξ^{nnms} σύν^{p} Δρούσιλλα^{ndfs} ὁ^{ddfs} γυνή^{ndfs} αὐτός^{rpgms} εἰμί^{vppxdfs} Ἰουδαῖος^{adfsn} μεταπέμπομαι^{viad3s} ὁ^{dams} Παῦλος^{nams} καί^{c} ἀκούω^{viaa3s} αὐτός^{rpgms} περί^{p} ὁ^{dgfs} εἰς^{p} Χριστός^{nams} πίστις^{ngfs}. **v.25** διαλέγομαι^{vppngms} δέ^{c} αὐτός^{rpgms} περί^{p} δικαιοσύνη^{ngfs} καί^{c} ἐγκράτεια^{ngfs} καί^{c} ὁ^{dgns} κρίμα^{ngns} ὁ^{dgns} μέλλω^{vppagns} εἰμί^{vnfx} ἔμφοβος^{anmsn} γίνομαι^{vpadnms} ὁ^{dnms} Φῆλιξ^{nnms} ἀποκρίνομαι^{viad3s} ὁ^{dans} νῦν^{bo} ἔχω^{vppaans} πορεύομαι^{vdpn2s} καιρός^{nams} δέ^{c} μεταλαμβάνω^{vpaanms} μετακαλέω^{vifm1s} σύ$^{rpa\text{-}s}$. **v.26** ἅμα^{bo} δέ^{c} καί^{c} ἐλπίζω^{vppanms} ὅτι^{c} χρῆμα^{nanp} δίδωμι^{vifp3s} αὐτός^{rpdms} ὑπό^{p} ὁ^{dgms} Παῦλος^{ngms} ὅπως^{bo} λύω^{vsaa3s} αὐτός^{rpams} διό^{c} καί^{c} πυκνός^{aansc} αὐτός^{rpams} μεταπέμπομαι^{vppnnms} ὁμιλέω^{viia3s} αὐτός^{rpdms}. **v.27** διετία^{ngfs} δέ^{c} πληρόω^{vpapgfs} λαμβάνω^{viaa3s} διάδοχος^{nams} ὁ^{dnms} Φῆλιξ^{nnms} Πόρκιος^{nams} Φῆστος^{nams} θέλω^{vppanms} τέ^{xo} χάρις^{nafp} κατατίθημι^{vnam} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} ὁ^{dnms} Φῆλιξ^{nnms} καταλείπω^{viaa3s} ὁ^{dams} Παῦλος^{nams} δέω^{vpxpams}.

2 Ἱεροσόλυμα ἀπὸ Καισαρείας. ἐνεφάνισάν δὲ αὐτῷ ὁ ἀρχιε-
ρεύς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου καὶ παρεκά-
3 λουν αὐτὸν. αἰτούμενοι χάριν κατ αὐτοῦ ὅπως μεταπέμψηται
αὐτὸν εἰς Ἰερουσαλήμ ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ
4 τὴν ὁδόν. ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦ-
λον ἐν Καισαρείᾳ ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι,
5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν φησίν συγκαταβάντες εἴ τί ἐστιν ἐν τῷ
6 ἀνδρὶ τούτω κατηγορείτωσαν αὐτοῦ. Διατρίψας δὲ ἐν αὐτοῖς
ἡμέρας πλείους ἢ δέκα καταβὰς εἰς Καισάρειαν τῇ ἐπαύριον
7 καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσεν τὸν Παῦλον ἀχθῆναι. πα-
ραγενομένου δὲ αὐτοῦ περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων κατα-
βεβηκότες Ἰουδαῖοι πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ
8 τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι. ἀπολογουμένου αὐ-
τοῦ, ὅτι Οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε
9 εἰς Καίσαρά τι ἥμαρτον. ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων
χάριν καταθέσθαι ἀποκριθεὶς τῷ Παύλῳ εἶπεν Θέλεις εἰς Ἱε-
10 ροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ ἐμοῦ. εἶπεν
δὲ ὁ Παῦλος Ἐπὶ τοῦ βήματος Καίσαρός ἐστώς εἰμι οὗ με δεῖ
κρίνεσθαι Ἰουδαίους οὐδὲν ἠδίκησα ὡς καὶ σὺ κάλλιον ἐπιγι-
11 νώσκεις. εἰ μὲν γὰρ ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι οὐ
παραιτοῦμαι τὸ ἀποθανεῖν, εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατη-
γοροῦσίν μου οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι, Καίσαρα

---

25. **v.1** Φῆστος^{nnms} οὖν^{c} ἐπιβαίνω^{vpaanms} ὁ^{ddfs} ἐπαρχεία^{ndfs} μετά^{p} τρεῖς^{nafp} ἡμέρα^{nafp} ἀναβαίνω^{viaa3s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} ἀπό^{p} Καισάρεια^{ngfs}. **v.2** ἐμφανίζω^{viaa3p} δέ^{c} αὐτός^{rpdms} ὁ^{dnms} ἀρχιερεύς^{nnms} καί^{c} ὁ^{dnmp} πρῶτος^{anmpn} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} κατά^{p} ὁ^{dgms} Παῦλος^{ngms} καί^{c} παρακαλέω^{viia3p} αὐτός^{rpams}. **v.3** αἰτέω^{vppmnmp} χάρις^{nafs} κατά^{p} αὐτός^{rpgms} ὅπως^{bo} μεταπέμπομαι^{vsad3s} αὐτός^{rpams} εἰς^{p} Ἱερουσαλήμ^{tp} ἐνέδρα^{nafs} ποιέω^{vppanmp} ἀναιρέω^{vnaa} αὐτός^{rpams} κατά^{p} ὁ^{dafs} ὁδός^{nafs}. **v.4** ὁ^{dnms} μέν^{xo} οὖν^{c} Φῆστος^{nnms} ἀποκρίνομαι^{viad3s} τηρέω^{vnpp} ὁ^{dams} Παῦλος^{nams} ἐν^{p} Καισάρεια^{ndfs} ἑαυτοῦ^{rxams} δέ^{c} μέλλω^{vnpa} ἐν^{p} τάχος^{ndns} ἐκπορεύομαι^{vnpn}. **v.5** ὁ^{dnmp} οὖν^{c} δυνατός^{anmpn} ἐν^{p} σύ$^{rpd-p}$ φημί^{vipx3s} συγκαταβαίνω^{vpaanmp} εἰ^{qo} τίς^{rinns} εἰμί^{vipx3s} ἐν^{p} ὁ^{ddms} ἀνήρ^{ndms} οὗτος^{rddms} κατηγορέω^{vdpa3p} αὐτός^{rpgms}. **v.6** διατρίβω^{vpaanms} δέ^{c} ἐν^{p} αὐτός^{rpdmp} ἡμέρα^{nafp} πολύς^{aafpc} ἤ^{xo} δέκα^{tn} καταβαίνω^{vpaanms} εἰς^{p} Καισάρεια^{nafs} ὁ^{ddfs} ἐπαύριον^{bo} καθίζω^{vpaanms} ἐπί^{p} ὁ^{dgns} βῆμα^{ngns} κελεύω^{viaa3s} ὁ^{dams} Παῦλος^{nams} ἄγω^{vnap}. **v.7** παραγίνομαι^{vpadgms} δέ^{c} αὐτός^{rpgms} περιΐστημι^{viaa3p} ὁ^{dnmp} ἀπό^{p} Ἱεροσόλυμα^{ngnp} καταβαίνω^{vpxanmp} Ἰουδαῖος^{anmpn} πολύς^{aanpn} καί^{c} βαρύς^{aanpn} αἰτίωμα^{nanp} φέρω^{vppanmp} κατά^{p} ὁ^{dgms} Παῦλος^{ngms} ὅς^{rranp} οὐ^{xo} ἰσχύω^{viia3p} ἀποδείκνυμι^{vnaa}. **v.8** ἀπολογέομαι^{vppngms} αὐτός^{rpgms} ὅτι^{c} οὔτε^{c} εἰς^{p} ὁ^{dams} νόμος^{nams} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} οὔτε^{c} εἰς^{p} ὁ^{dans} ἱερόν^{nans} οὔτε^{c} εἰς^{p} Καῖσαρ^{nams} τι-
-σριανσ ἁμαρτάνω^{viaa1s}. **v.9** ὁ^{dnms} Φῆστος^{nnms} δέ^{c} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} θέλω^{vppanms} χάρις^{nafs} κατατίθημι^{vnam} ἀποκρίνομαι^{vpaonms} ὁ^{ddms} Παῦλος^{ndms} λέγω^{viaa3s} θέλω^{vipa2s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} ἀναβαίνω^{vpaanms} ἐκεῖ^{bo} περί^{p} οὗτος^{rdgnp} κρίνω^{vnpp} ἐπί^{p} ἐγώ$^{rpg-s}$. **v.10** λέγω^{viaa3s} δέ^{c} ὁ^{dnms} Παῦλος^{nnms} ἐπί^{p} ὁ^{dgns} βῆμα^{ngns} Καῖσαρ^{ngms} ἵστημι^{vpxanms} εἰμί^{vipx1s} ὅς^{bo} ἐγώ$^{rpa-s}$ δεῖ^{vipq3s} κρίνω^{vnpp} Ἰουδαῖος^{aampn} οὐδείς^{aansn} ἀδικέω^{viaa1s} ὡς^{bo} καί^{c} σύ$^{rpn-s}$ καλός^{bo} ἐπιγινώσκω^{vipa2s}.

ἐπικαλοῦμαι. τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου ἀπεκρίθη Καίσαρα ἐπικέκλησαι ἐπὶ Καίσαρα πορεύσῃ. 12
Ἡμερῶν δὲ διαγενομένων τινῶν Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον. 13
ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον λέγων Ἀνήρ τίς ἐστιν καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος. περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα 14
ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων αἰτούμενοι κατ αὐτοῦ δίκην. πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν 15
ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους 16
τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. συνελθόντων 17
οὖν αὐτῶν ἐνθάδε ἀναβολὴν μηδεμίαν ποιησάμενος τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα, περὶ οὗ 18
σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγὼ ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς 19
αὐτὸν καὶ περί τινος Ἰησοῦ τεθνηκότος ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτου ζήτησιν ἔλεγον 20
εἰ βούλοιτο πορεύεσθαι εἰς Ἰερουσαλὴμ κἀκεῖ κρίνεσθαι περὶ τούτων. τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς 21
τὴν τοῦ Σεβαστοῦ διάγνωσιν ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ

---

v.11 εἰqo μένxo γάρc ἀδικέωvipa1s καίc ἄξιοςaansn θάνατοςngms πράσσωvixa1s τι-σριανσ οὐxo παραιτέομαιvipn1s ὁdans ἀποθνῄσκωvnaa εἰqo δέc οὐδείςannsn εἰμίvipx3s ὅςrrgnp οὗτοςrdnmp κατηγορέωvipa3p ἐγώrpg-s οὐδείςanfsn ἐγώrpa-s δύναμαιvipn3s αὐτόςrpdmp χαρίζομαιvnad Καῖσαρnams ἐπικαλέωvipm1s. **v.12** τότεbo ὁdnms Φῆστοςnnms συλλαλέωvpaanms μετάp ὁdgns συμβούλιονngns ἀποκρίνομαιviad3s Καῖσαρnams ἐπικαλέωvixm2s ἐπίp Καῖσαρnams πορεύομαιvifd2s. **v.13** ἡμέραngfp δέc διαγίνομαιvpadgfp τι-σριγφπ Ἀγρίππαςnnms ὁdnms βασιλεύςnnms καίc Βερνίκηnnfs καταντάωviaa3p εἰςp Καισάρειαnafs ἀσπάζομαιvpfdnmp ὁdams Φῆστοςnams. **v.14** ὡςbo δέc πολύςaafpc ἡμέραnafp διατρίβωviia3p ἐκεῖbo ὁdnms Φῆστοςnnms ὁddms βασιλεύςndms ἀνατίθημιviam3s ὁdanp κατάp ὁdams Παῦλοςnams λέγωvppanms ἀνήρnnms τίςrinms εἰμίvipx3s καταλείπωvpxpnms ὑπόp Φῆλιξngms δέσμιοςnnms. **v.15** περίp ὅςrrgms γίνομαιvpadgms ἐγώrpg-s εἰςp Ἱεροσόλυμαnafs ἐμφανίζωviaa3p ὁdnmp ἀρχιερεύςnnmp καίc ὁdnmp πρεσβύτεροςanmpn ὁdgmp Ἰουδαῖοςagmpn αἰτέωvppmnmp κατάp αὐτόςrpgms δίκηnafs. **v.16** πρόςp ὅςrramp ἀποκρίνομαιviad1s ὅτιc οὐxo εἰμίvipx3s ἔθοςnnns Ῥωμαῖοςadmpn χαρίζομαιvnpn τι-σριαμσ ἄνθρωποςnams εἰςp ἀπώλειαnafs πρίνbo ἤxo ὁdnms κατηγορέωvpppnms κατάp πρόσωπονnans ἔχωvopa3s ὁdamp κατήγοροςnamp τόποςnams τέxo ἀπολογίαngfs λαμβάνωvoaa3s περίp ὁdgns ἔγκλημαngns. **v.17** συνέρχομαιvpaagmp οὖνc αὐτόςrpgmp ἐνθάδεbo ἀναβολήnafs μηδείςaafsn ποιέωvpamnms ὁddfs ἑξῆςbo καθίζωvpaanms ἐπίp ὁdgns βῆμαngns κελεύωviaa1s ἄγωvnap ὁdams ἀνήρnams. **v.18** περίp ὅςrrgms ἵστημιvpapnmp ὁdnmp κατήγοροςnnmp οὐδείςaafsn αἰτίαnafs ἐπιφέρωviia2p ὅςrrgnp ὑπονοέωviia1s ἐγώrpn-s. **v.19** ζήτημαnanp δέc τι-σριανπ περίp ὁdgfs ἴδιοςagfsn δεισιδαιμονίαngfs ἔχωviia3p πρόςp αὐτόςrpams καίc περίp τι-σριγμσ Ἰησοῦςngms θνῄσκωvpxagms ὅςrrams φάσκωviia3s ὁdnms Παῦλοςnnms ζάωvnpa. **v.20** ἀπορέωvppmnms δέc ἐγώrpn-s εἰςp ὁdafs περίp οὗτοςrdgms ζήτησιςnafs λέγωviia1s εἰqo βούλομαιvopn3s πορεύομαιvnpn εἰςp Ἱερουσαλὴμtp κἀκεῖbo κρίνωvnpp περίp οὗτοςrdgnp.

22 πέμψω αὐτὸν πρὸς Καίσαρα. Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον
ἔφη, Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι ὁ δὲ Αὔριον
23 φησίν ἀκούσῃ αὐτοῦ. Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα
καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς
τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ
ἐξοχὴν οὖσιν τῆς πόλεως καὶ κελεύσαντος τοῦ Φήστου ἤχθη
24 ὁ Παῦλος. καί φησιν ὁ Φῆστος Ἀγρίππα βασιλεῦ καὶ πάν-
τες οἱ συμπαρόντες ἡμῖν ἄνδρες θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν
τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἰεροσολύμοις καὶ
25 ἐνθάδε ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. ἐγὼ δὲ καταλα-
βόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι καὶ αὐτοῦ δὲ
τούτου ἐπικαλεσαμένου τὸν Σεβαστὸν ἔκρινα πέμπειν αὐτόν.
26 περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω διὸ προήγαγον
αὐτὸν ἐφ ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ βασιλεῦ Ἀγρίππα ὅπως τῆς
27 ἀνακρίσεως γενομένης σχῶ τί γράψαι. ἄλογον γάρ μοι δοκεῖ
πέμποντα δέσμιον μὴ καὶ τὰς κατ αὐτοῦ αἰτίας σημᾶναι.

26 Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη Ἐπιτρέπεταί σοι ὑπὲρ
σεαυτοῦ λέγειν τότε ὁ Παῦλος ἀπελογεῖτο ἐκτείνας τὴν χεῖρα.
2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων βασιλεῦ Ἀγρίππα
ἡγημαι ἐμαυτὸν μακάριον μέλλων ἀπολογεῖσθαι ἐπὶ σοῦ σή-

---

v.21 ὁ[dgms] δέ[c] Παῦλος[ngms] ἐπικαλέω[vpamgms] τηρέω[vnap] αὐτός[rpams] εἰς[p] ὁ[dafs] ὁ[dgms] σεβαστός[agmsn] διάγνωσις[nafs] κελεύω[viaa1s] τηρέω[vnpp] αὐτός[rpams] ἕως[c] ὅς[bo] πέμπω[vsaa1s] αὐτός[rpams] πρός[p] Καῖσαρ[nams]. **v.22** Ἀγρίππας[nnms] δέ[c] πρός[p] ὁ[dams] Φῆστος[nams] φημί[viix3s] βούλομαι[viin1s] καί[c] αὐτός[rpnms] ὁ[dgms] ἄνθρωπος[ngms] ἀκούω[vnaa] ὁ[dnms] δέ[c] αὔριον[bo] φημί[vipx3s] ἀκούω[vifd2s] αὐτός[rpgms]. **v.23** ὁ[ddfs] οὖν[c] ἐπαύριον[bo] ἔρχομαι[vpaagms] ὁ[dgms] Ἀγρίππας[ngms] καί[c] ὁ[dgfs] Βερνίκη[ngfs] μετά[p] πολύς[agfsn] φαντασία[ngfs] καί[c] εἰσέρχομαι[vpaagmp] εἰς[p] ὁ[dans] ἀκροατήριον[nans] σύν[p] τέ[xo] ὁ[ddmp] χιλίαρξος[ndmp] καί[c] ἀνήρ[ndmp] ὁ[ddmp] κατά[p] ἐξοχή[nafs] εἰμί[vppxdmp] ὁ[dgfs] πόλις[ngfs] καί[c] κελεύω[vpaagms] ὁ[dgms] Φῆστος[ngms] ἄγω[viap3s] ὁ[dnms] Παῦλος[nnms]. **v.24** καί[c] φημί[vipx3s] ὁ[dnms] Φῆστος[nnms] Ἀγρίππας[nvms] βασιλεύς[nvms] καί[c] πᾶς[anmpn] ὁ[dnmp] συμπάρειμι[vppxnmp] ἐγώ[rpd-p] ἀνήρ[nvmp] θεωρέω[vipa2p] οὗτος[rdams] περί[p] ὅς[rrgms] πᾶς[annsn] ὁ[dnns] πλῆθος[nnns] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ἐντυγχάνω[viaa3p] ἐγώ[rpd-s] ἐν[p] τέ[xo] Ἰεροσόλυμα[ndnp] καί[c] ἐνθάδε[bo] ἐπιβοάω[vppanmp] μή[xo] δεῖ[vnpq] ζάω[vnpa] αὐτός[rpams] μηκέτι[bo]. **v.25** ἐγώ[rpn-s] δέ[c] καταλαμβάνω[vpamnnms] μηδείς[aansn] ἄξιος[aansn] θάνατος[ngms] αὐτός[rpams] πράσσω[vnxa] καί[c] αὐτός[rpgms] δέ[c] οὗτος[rdgms] ἐπικαλέω[vpamgms] ὁ[dams] σεβαστός[aamsn] κρίνω[viaa1s] πέμπω[vnpa] αὐτός[rpams]. **v.26** περί[p] ὅς[rrgms] ἀσφαλής[aansn] τι-σριανσ γράφω[vnaa] ὁ[ddms] κύριος[ndms] οὐ[xo] ἔχω[vipa1s] διό[c] προάγω[viaa1s] αὐτός[rpams] ἐπί[p] σύ[rpg-p] καί[c] μάλιστα[bo] ἐπί[p] σύ[rpg-s] βασιλεύς[nvms] Ἀγρίππας[nvms] ὅπως[bo] ὁ[dgfs] ἀνάκρισις[ngfs] γίνομαι[vpadgfs] ἔχω[vsaa1s] τίς[rians] γράφω[vnaa]. **v.27** ἄλογος[annsn] γάρ[c] ἐγώ[rpd-s] δοκέω[vipa3s] πέμπω[vppaams] δέσμιος[nams] μή[xo] καί[c] ὁ[dafp] κατά[p] αὐτός[rpgms] αἰτία[ngfs] σημαίνω[vnaa]. **26. v.1** Ἀγρίππας[nnms] δέ[c] πρός[p] ὁ[dams] Παῦλος[nams] φημί[viix3s] ἐπιτρέπω[vipp3s] σύ[rpd-s] ὑπέρ[p] σεαυτοῦ[rxgms] λέγω[vnpa] τότε[bo] ὁ[dnms] Παῦλος[nnms] ἀπολογέομαι[viin3s] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs].

μερον. μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους 3
ἐθῶν τε καὶ ζητημάτων διὸ δέομαι σου, μακροθύμως ἀκοῦσαί
μου. Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος τὴν ἀπ ἀρχῆς γε- 4
νομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις ἴσασιν πάντες οἱ Ἰου-
δαῖοι. προγινώσκοντές με ἄνωθεν ἐὰν θέλωσιν μαρτυρεῖν ὅτι 5
κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα
Φαρισαῖος. καὶ νῦν ἐπ ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγ- 6
γελίας γενομένης ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος. εἰς ἣν τὸ 7
δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλ-
πίζει καταντῆσαι περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι βασιλεῦ Ἀγρίππα
ὑπὸ τῶν Ἰουδαίων. τί ἄπιστον κρίνεται παρ ὑμῖν εἰ ὁ θεὸς νε- 8
κροὺς ἐγείρει. ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰη- 9
σοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι. ὃ καὶ ἐποίησα 10
ἐν Ἱεροσολύμοις καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέ-
κλεισα τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών ἀναιρουμένων
τε αὐτῶν κατήνεγκα ψῆφον. καὶ κατὰ πάσας τὰς συναγωγὰς 11
πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν περισσῶς τε
ἐμμαινόμενος αὐτοῖς ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. Ἐν 12
οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ ἐξουσίας καὶ ἐπι-
τροπῆς τῆς παρὰ τῶν ἀρχιερέων. ἡμέρας μέσης κατὰ τὴν ὁδὸν 13
εἶδον βασιλεῦ οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου πε-

---

v.2 περίp πᾶςagnpn ὅςrrgnp ἐγκαλέωvipp1s ὑπόp Ἰουδαῖοςagmpn βασιλεύςnvms Ἀγρίππαςnvms ἡγέομαιvixn1s ἐμαυτοῦrxams μακάριοςaamsn μέλλωvppanms ἀπολογέομαιvnpn ἐπίp σύrpg-s σήμερονbo. **v.3** μάλισταbo γνώστηςnams εἰμίvppxams σύrpa-s πᾶςagmpn ὁdgnp κατάp Ἰουδαῖοςaampn ἔθοςngnp τέxo καίc ζήτημαngnp διόc δέομαιvipn1s σύrpg-s μακροθύμωςbo ἀκούωvnaa ἐγώrpg-s. **v.4** ὁdafs μένxo οὖνc βίωσιςnafs ἐγώrpg-s ὁdafs ἐκp νεότηςngfs ὁdafs ἀπόp ἀρχήngfs γίνομαιvpadafs ἐνp ὁddns ἔθνοςndns ἐγώrpg-s ἐνp Ἱεροσόλυμαndnp ἴσημιvixa3p πᾶςanmpn ὁdnmp Ἰουδαῖοςanmpn. **v.5** προγινώσκωvppanmp ἐγώrpa-s ἄνωθενbo ἐάνqo θέλωvspa3p μαρτυρέωvnpa ὅτιc κατάp ὁdafs ἀκριβήςaafss αἵρεσιςnafs ὁdgfs ἡμέτεροςrsgfs θρησκείαngfs ζάωviaa1s Φαρισαῖοςnnms. **v.6** καίc νῦνbo ἐπίp ἐλπίςndfs ὁdgfs πρόςp ὁdamp πατήρnamp ἐπαγγελίαngfs γίνομαιvpadgfs ὑπόp ὁdgms θεόςngms ἵστημιvixa1s κρίνωvpppnms. **v.7** εἰςp ὅςrrafs ὁdnns δωδεκάφυλονnnns ἐγώrpg-p ἐνp ἐκτένειαndfs νύξnafs καίc ἡμέραnafs λατρεύωvppanns ἐλπίζωvipa3s καταντάωvnaa περίp ὅςrrgfs ἐλπίςngfs ἐγκαλέωvipp1s βασιλεύςnvms Ἀγρίππαςnvms ὑπόp ὁdgmp Ἰουδαῖοςagmpn. **v.8** τίςrqans ἄπιστοςaamsn κρίνωvipp3s παράp σύrpd-p εἰqo ὁdnms θεόςnnms νεκρόςaampn ἐγείρωvipa3s. **v.9** ἐγώrpn-s μένxo οὖνc δοκέωviaa1s ἐμαυτοῦrxdms πρόςp ὁdans ὄνομαnans Ἰησοῦςngms ὁdgms Ναζωραῖοςngms δεῖvnpq πολύςaanpn ἐναντίοςaanpn πράσσωvnaa. **v.10** ὅςrrans καίc ποιέωviaa1s ἐνp Ἱεροσόλυμαndnp καίc πολύςaampn ὁdgmp ἅγιοςagmpn ἐγώrpn-s φυλακήndfp κατακλείωviaa1s ὁdafs παράp ὁdgmp ἀρχιερεύςngmp ἐξουσίαnafs λαμβάνωvpaanms ἀναιρέωvpppgmp τέxo αὐτόςrpgmp καταφέρωviaa1s ψῆφοςnafs. **v.11** καίc κατάp πᾶςaafpn ὁdafp συναγωγήnafp πολλάκιςbo τιμωρέωvppanms αὐτόςrpamp ἀναγκάζωviia1s βλασφημέωvnpa περισσῶςbo τέxo ἐμμαίνομαιvppnnms αὐτόςrpdmp διώκωviia1s ἕωςc καίc εἰςp ὁdafp ἔξωbo πόλιςnafp. **v.12** ἐνp ὅςrrdnp καίc πορεύομαιvppnnms εἰςp ὁdafs Δαμασκόςnafs μετάp ἐξουσίαngfs καίc ἐπιτροπήngfs ὁdgfs παράp ὁdgmp ἀρχιερεύςngmp.

14 ριλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. πάντων
δέ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν ἤκουσα φωνὴν λαλοῦσαν
πρός με καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ Σαοὺλ Σαούλ τί
15 με διώκεις σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἐγὼ δὲ εἶπον,
16 Τίς εἶ κύριε ὁ δὲ εἶπεν Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. ἀλλὰ
ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου, εἰς τοῦτο γὰρ ὤφθην
σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδές ὧν τε
17 ὀφθήσομαί σοι. ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν
18 εἰς οὓς νῦν σε ἀποστέλλω. ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν τοῦ ἐ-
πιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ
ἐπὶ τὸν θεόν τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον
19 ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. Ὅθεν βασιλεῦ Ἀγρίππα
20 οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ. ἀλλὰ τοῖς ἐν Δα-
μασκῷ πρῶτόν καὶ Ἱεροσολύμοις εἰς πᾶσάν τε τὴν χώραν τῆς
Ἰουδαίας καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλων μετανοεῖν καὶ ἐπιστρέ-
21 φειν ἐπὶ τὸν θεόν ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. ἕνεκα
τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ ἐπειρῶντο δια-
22 χειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ ἄχρι
τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρούμενος μικρῷ τε καὶ μεγά-
λῳ οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων

---

v.13 ἡμέρα^{ngfs} μέσος^{agfsn} κατά^{p} ὁ^{dafs} ὁδός^{nafs} ὁράω^{viaa1s} βασιλεύς^{nvms} οὐρανόθεν^{bo} ὑπέρ^{p} ὁ^{dafs} λαμπρότης^{nafs} ὁ^{dgms} ἥλιος^{ngms} περιλάμπω^{vpaaans} ἐγώ$^{rpa-s}$ φῶς^{nans} καί^{c} ὁ^{damp} σύν^{p} ἐγώ$^{rpd-s}$ πορεύομαι^{vppnamp}. **v.14** πᾶς^{agmpn} δέ^{c} καταπίπτω^{vpaagmp} ἐγώ$^{rpg-p}$ εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} ἀκούω^{viaa1s} φωνή^{nafs} λαλέω^{vppaafs} πρός^{p} ἐγώ$^{rpa-s}$ καί^{c} λέγω^{vppaafs} ὁ^{ddfs} Ἑβραΐς^{ndfs} διάλεκτος^{ndfs} Σαούλ^{tp} Σαούλ^{tp} τίς^{rqans} ἐγώ$^{rpa-s}$ διώκω^{vipa2s} σκληρός^{annsn} σύ$^{rpd-s}$ πρός^{p} κέντρον^{nanp} λακτίζω^{vnpa}. **v.15** ἐγώ$^{rpn-s}$ δέ^{c} λέγω^{viaa1s} τίς^{rqnms} εἰμί^{vipx2s} κύριος^{nvms} ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} Ἰησοῦς^{nnms} ὅς^{rrams} σύ$^{rpn-s}$ διώκω^{vipa2s}. **v.16** ἀλλά^{c} ἀνίστημι^{vdaa2s} καί^{c} ἵστημι^{vdaa2s} ἐπί^{p} ὁ^{damp} πούς^{namp} σύ$^{rpg-s}$ εἰς^{p} οὗτος^{rdans} γάρ^{c} ὁράω^{viap1s} σύ$^{rpd-s}$ προχειρίζομαι^{vnad} σύ$^{rpa-s}$ ὑπηρέτης^{nams} καί^{c} μάρτυς^{nams} ὅς^{rrgnp} τέ^{xo} ὁράω^{viaa2s} ὅς^{rrgnp} τέ^{xo} ὁράω^{vifp1s} σύ$^{rpd-s}$. **v.17** ἐξαιρέω^{vppmnms} σύ$^{rpa-s}$ ἐκ^{p} ὁ^{dgms} λαός^{ngms} καί^{c} ὁ^{dgnp} ἔθνος^{ngnp} εἰς^{p} ὅς^{rramp} νῦν^{bo} σύ$^{rpa-s}$ ἀποστέλλω^{vipa1s}. **v.18** ἀνοίγω^{vnaa} ὀφθαλμός^{namp} αὐτός^{rpgmp} ὁ^{dgms} ἐπιστρέφω^{vnaa} ἀπό^{p} σκότος^{ngns} εἰς^{p} φῶς^{nans} καί^{c} ὁ^{dgfs} ἐξουσία^{ngfs} ὁ^{dgms} Σατανᾶς^{ngms} ἐπί^{p} ὁ^{dams} θεός^{nams} ὁ^{dgms} λαμβάνω^{vnaa} αὐτός^{rpamp} ἄφεσις^{nafs} ἁμαρτία^{ngfp} καί^{c} κλῆρος^{nams} ἐν^{p} ὁ^{ddmp} ἁγιάζω^{vpxpdmp} πίστις^{ndfs} ὁ^{ddfs} εἰς^{p} ἐγώ$^{rpa-s}$. **v.19** ὅθεν^{bo} βασιλεύς^{nvms} Ἀγρίππας^{nvms} οὐ^{xo} γίνομαι^{viad1s} ἀπειθής^{anmsn} ὁ^{ddfs} οὐράνιος^{adfsn} ὀπτασία^{ndfs}. **v.20** ἀλλά^{c} ὁ^{ddmp} ἐν^{p} Δαμασκός^{ndfs} πρῶτος^{bo} καί^{c} Ἱεροσόλυμα^{ndnp} εἰς^{p} πᾶς^{aafsn} τέ^{xo} ὁ^{dafs} χώρα^{nafs} ὁ^{dgfs} Ἰουδαία^{ngfs} καί^{c} ὁ^{ddnp} ἔθνος^{ndnp} ἀπαγγέλλω^{vppanms} μετανοέω^{vnpa} καί^{c} ἐπιστρέφω^{vnpa} ἐπί^{p} ὁ^{dams} θεός^{nams} ἄξιος^{aanpn} ὁ^{dgfs} μετάνοια^{ngfs} ἔργον^{nanp} πράσσω^{vppaamp}. **v.21** ἕνεκα^{bo} οὗτος^{rdgnp} ἐγώ$^{rpa-s}$ ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} συλλαμβάνω^{vpamnmp} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} πειράομαι^{viin3p} διαχειρίζω^{vnam}.

γίνεσθαι καὶ Μωσῆς, εἰ παθητὸς ὁ Χριστός εἰ πρῶτος ἐξ ἀ- 23
ναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς
ἔθνεσιν. Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου ὁ Φῆστος μεγάλῃ 24
τῇ φωνῇ ἔφη Μαίνῃ Παῦλε, τὰ πολλά σε γράμματα εἰς μανίαν
περιτρέπει. ὁ δὲ Οὐ μαίνομαι φησίν κράτιστε Φῆστε ἀλλ᾽ ἀλη- 25
θείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. ἐπίσταται γὰρ 26
περὶ τούτων ὁ βασιλεύς πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ
λανθάνειν γὰρ αὐτὸν τι τούτων οὐ πείθομαι οὐδέν οὐ γάρ ἐστιν
ἐν γωνίᾳ πεπραγμένον τοῦτο. πιστεύεις βασιλεῦ Ἀγρίππα τοῖς 27
προφήταις οἶδα ὅτι πιστεύεις. ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον 28
ἔφη, Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. ὁ δὲ Παῦλος 29
εἶπεν, Εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μό-
νον σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι
τοιούτους ὁποῖος κἀγώ εἰμι παρεκτὸς τῶν δεσμῶν τούτων. καὶ 30
ταῦτα εἰπόντος αὐτοῦ, Ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε
Βερνίκη Καὶ οἱ συγκαθήμενοι αὐτοῖς. καὶ ἀναχωρήσαντες ἐ- 31
λάλουν πρὸς ἀλλήλους λέγοντες ὅτι Οὐδὲν θανάτου ἄξιον ἢ
δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. Ἀγρίππας δὲ τῷ Φήστῳ 32
ἔφη Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος εἰ μὴ ἐπεκέκλητο
Καίσαρα.

---

v.22 ἐπικουρίαngfs οὖνc τυγχάνωvpaanms ὁdgfs παράp ὁdgms θεόςngms ἄχριp ὁdgfs ἡμέραngfs οὗτοςrdgfs ἵστημιvixa1s μαρτυρέωvpppnms μικρόςadmsn τέxo καίc μέγαςadmsn οὐδείςaansn ἐκτόςbo λέγωvppanms ὅςrrgnp τέxo ὁdnmp προφήτηςnnmp λαλέωviaa3p μέλλωvppagnp γίνομαιvnpn καίc Μωϋσῆςnnms. **v.23** εἰqo παθητόςanmsn ὁdnms Χριστόςnnms εἰqo πρῶτοςanmsn ἐκp ἀνάστασιςngfs νεκρόςagmpn φῶςnans μέλλωvipa3s καταγγέλλωvnpa ὁddms λαόςndms καίc ὁddnp ἔθνοςndnp. **v.24** οὗτοςrdanp δέc αὐτόςrpgms ἀπολογέομαιvppngms ὁdnms Φῆστοςnnms μέγαςadfsn ὁddfs φωνῇndfs φημίviix3s μαίνομαιvipn2s Παῦλοςnvms ὁdnnp πολύςannpn σύrpa-s γράμμαnnnp εἰςp μανίαnafs περιτρέπωvipa3s. **v.25** ὁdnms δέc οὐxo μαίνομαιvipn1s φημίvipx3s κράτιστοςavmsn Φῆστοςnvms ἀλλάc ἀλήθειαngfs καίc σωφροσύνηngfs ῥῆμαnanp ἀποφθέγγομαιvipn1s. **v.26** ἐπίσταμαιvipn3s γάρc περίp οὗτοςrdgnp ὁdnms βασιλεύςnnms πρόςp ὅςrrams καίc παρρησιάζομαιvppnnms λαλέωvipa1s λανθάνωvnpa γάρc αὐτόςrpams τι-σρι-ανσ οὗτοςrdgnp οὐxo πείθωvipp1s οὐδείςaansn οὐxo γάρc εἰμίvipx3s ἐνp γωνίαndfs πράσσωvpxpnns οὗτοςrdnns. **v.27** πιστεύωvipa2s βασιλεύςnvms Ἀγρίππαςnvms ὁddmp προφήτηςndmp οἶδαvixa1s ὅτιc πιστεύωvipa2s. **v.28** ὁdnms δέc Ἀγρίππαςnnms πρόςp ὁdams Παῦλοςnams φημίviix3s ἐνp ὀλίγοςadnsn ἐγώrpa-s πείθωvipa2s Χριστιανόςnams γίνομαιvnad. **v.29** ὁdnms δέc Παῦλοςnnms λέγωviaa3s εὔχομαιvoad1s ἄνxo ὁddms θεόςndms καίc ἐνp ὀλίγοςadnsn καίc ἐνp πολύςadnsn οὐxo μόνοςbo σύrpa-s ἀλλάc καίc πᾶςaampn ὁdamp ἀκούωvppaamp ἐγώrpg-s σήμερονbo γίνομαιvnad τοιοῦτοςrdamp ὁποῖοςannsn κἀγώrpn-s εἰμίvipx1s παρεκτόςbo ὁdgmp δεσμόςngmp οὗτοςrdgmp. **v.30** καίc οὗτοςrdanp λέγωvpaagms αὐτόςrpgms ἀνίστημιviaa3s ὁdnms βασιλεύςnnms καίc ὁdnms ἡγεμώνnnms ὁdnfs τέxo Βερνίκηnnfs καίc ὁdnmp συγκάθημαιvppnnmp αὐτόςrpdmp. **v.31** καίc ἀναχωρέωvpaanmp λαλέωviia3p πρόςp ἀλλήλωνreamp λέγωvppanmp ὅτιc οὐδείςaansn θάνατοςngms ἄξιοςaansn ἢxo δεσμόςngmp πράσσωvipa3s ὁdnms ἄνθρωποςnnms οὗτοςrdnms. **v.32** Ἀγρίππαςnnms δέc ὁddms Φῆστοςndms φημίviix3s ἀπολύωvnxp δύναμαιviin3s ὁdnms ἄνθρωποςnnms οὗτοςrdnms εἰqo μήxo ἐπικαλέωviyd3s Καῖσαρnams.

27 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν παρεδίδουν
τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνό-
2 ματι Ἰουλίῳ σπείρης Σεβαστῆς. ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυτ-
τηνῷ μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους ἀνήχθημεν
3 ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως. τῇ
τε ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα φιλανθρώπως τε ὁ Ἰούλιος τῷ
Παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς φίλους πορευθέντα ἐπιμε-
4 λείας τυχεῖν. κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον
5 διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. τό τε πέλαγος τὸ κατὰ
τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες κατήλθομεν εἰς
6 Μύρα τῆς Λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλε-
7 ξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν
ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ
τὴν Κνίδον μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου ὑπεπλεύσαμεν τὴν
8 Κρήτην κατὰ Σαλμώνην. μόλις τε παραλεγόμενοι αὐτὴν ἤλ-
θομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς Λιμένας ᾧ ἐγγὺς ἦν
9 πόλις Λασαία. Ἱκανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος ἤδη
ἐπισφαλοῦς τοῦ πλοὸς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυ-
10 θέναι παρῄνει ὁ Παῦλος. λέγων αὐτοῖς Ἄνδρες θεωρῶ ὅτι μετὰ
ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φορτου καὶ τοῦ πλοίου
11 ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ δὲ
ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον

---

27. **v.1** ὡς[bo] δέ[c] κρίνω[viap3s] ὁ[dgms] ἀποπλέω[vnpa] ἐγώ[rpa-p] εἰς[p] ὁ[dafs] Ἰταλία[nafs] παραδίδωμι[viia3p] ὁ[dams] τέ[xo] Παῦλος[nams] καί[c] τι-σριαμπ ἕτερος[aampn] δεσμώτης[namp] ἑκατοντάρχης[ndms] ὄνομα[ndns] Ἰούλιος[ndms] σπεῖρα[ngfs] σεβαστός[agfsn]. **v.2** ἐπιβαίνω[vpaanms] δέ[c] πλοῖον[ndns] Ἀδραμυττηνός[adnsn] μέλλω[vppanmp] πλέω[vnpa] ὁ[damp] κατά[p] ὁ[dafs] Ἀσία[nafs] τόπος[namp] ἀνάγω[viap1p] εἰμί[vppxgms] σύν[p] ἐγώ[rpd-p] Ἀρίσταρχος[ngms] Μακεδών[ngms] Θεσσαλονικεύς[ngms]. **v.3** ὁ[ddfs] τέ[xo] ἕτερος[adfsn] κατηχέω[viap1s] εἰς[p] Σιδών[nafs] φιλανθρώπως[bo] τέ[xo] ὁ[dnms] Ἰούλιος[nnms] ὁ[ddms] Παῦλος[ndms] χράομαι[vpadnms] ἐπιτρέπω[viaa3s] πρός[p] φίλος[aampn] πορεύομαι[vpaoams] ἐπιμέλεια[ngfs] τυγχάνω[vnaa]. **v.4** κἀκεῖθεν[bo] ἀνάγω[vpapnmp] ὑποπλέω[viaa1p] ὁ[dafs] Κύπρος[nafs] διά[p] ὁ[dans] ὁ[damp] ἄνεμος[namp] εἰμί[vnpx] ἐναντίος[aampn]. **v.5** ὁ[dans] τέ[xo] πέλαγος[nans] ὁ[dans] κατά[p] ὁ[dafs] Κιλικία[nafs] καί[c] Παμφυλία[nafs] διαπλέω[vpaanmp] κατέρχομαι[viaa1p] εἰς[p] Μύρα[nanp] ὁ[dgfs] Λυκία[ngfs]. **v.6** κἀκεῖ[bo] εὑρίσκω[vpaanms] ὁ[dnms] ἑκατοντάρχης[nnms] πλοῖον[nans] Ἀλεξανδρῖνος[aansn] πλέω[vppaans] εἰς[p] ὁ[dafs] Ἰταλία[nafs] ἐμβιβάζω[viaa3s] ἐγώ[rpa-p] εἰς[p] αὐτός[rpans]. **v.7** ἐν[p] ἱκανός[adfpn] δέ[c] ἡμέρα[ndfp] βραδυπλοέω[vppanmp] καί[c] μόλις[bo] γίνομαι[vpadnmp] κατά[p] ὁ[dafs] Κνίδος[nafs] μή[xo] προσεάω[vppagms] ἐγώ[rpa-p] ὁ[dgms] ἄνεμος[ngms] ὑποπλέω[viaa1p] ὁ[dafs] Κρήτη[nafs] κατά[p] Σαλμώνη[nafs]. **v.8** μόλις[bo] τέ[xo] παραλέγομαι[vppnnmp] αὐτός[rpafs] ἔρχομαι[viaa1p] εἰς[p] τόπος[nams] τι-σριαμσ καλέω[vpppams] καλός[aampn] λιμήν[namp] ὅς[rrdms] ἐγγύς[bo] εἰμί[viix3s] πόλις[nnfs] Λασαία[nnfs]. **v.9** ἱκανός[agmsn] δέ[c] χρόνος[ngms] διαγίνομαι[vpadgms] καί[c] εἰμί[vppxgms] ἤδη[bo] ἐπισφαλής[agmsn] ὁ[dgms] πλόος[ngms] διά[p] ὁ[dans] καί[c] ὁ[dafs] νηστεία[nafs] ἤδη[bo] παρέρχομαι[vnxa] παραινέω[viia3s] ὁ[dnms] Παῦλος[nnms]. **v.10** λέγω[vppanms] αὐτός[rpdmp] ἀνήρ[nvmp] θεωρέω[vipa1s] ὅτι[c] μετά[p] ὕβρις[ngfs] καί[c] πολύς[agfsn] ζημία[ngfs] οὐ[xo] μόνος[bo] ὁ[dgms] φορτίον[ngms] καί[c] ὁ[dgns] πλοῖον[ngns] ἀλλά[c] καί[c] ὁ[dgfp] ψυχή[ngfp] ἐγώ[rpg-p] μέλλω[vnpa] εἰμί[vnfx] ὁ[dams] πλόος[nams].

ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις. ἀνευθέτου δὲ τοῦ λιμένος 12
ὑπάρχοντος πρὸς παραχειμασίαν οἱ πλείους ἔθεντο βουλὴν ἀ-
ναχθῆναι κἀκεῖθεν εἴπως δύναιντο καταντήσαντες εἰς Φοίνικα
παραχειμάσαι λιμένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κα-
τὰ χῶρον. ὑποπνεύσαντος δὲ νότου δόξαντες τῆς προθέσεως 13
κεκρατηκέναι ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην. μετ 14
οὐ πολὺ δὲ ἔβαλεν κατ αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος
Εὐροκλύδων, συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμέ- 15
νου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ ἐπιδόντες ἐφερόμεθα. νησίον δέ 16
τι ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν περι-
κρατεῖς γενέσθαι τῆς σκάφης. ἣν ἄραντες βοηθείαις ἐχρῶντο 17
ὑποζωννύντες τὸ πλοῖον φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκ-
πέσωσιν χαλάσαντες τὸ σκεῦος οὕτως ἐφέροντο. σφοδρῶς δὲ 18
χειμαζομένων ἡμῶν τῇ ἐξῆς ἐκβολὴν ἐποιοῦντο. καὶ τῇ τρίτῃ 19
αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἔρριψαμεν. μήτε δὲ ἡ- 20
λίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας χειμῶνός
τε οὐκ ὀλίγου ἐπικειμένου λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ
σῴζεσθαι ἡμᾶς. Πολλῆς δέ ἀσιτίας ὑπαρχούσης τότε σταθεὶς 21
ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν Ἔδει μέν ὦ ἄνδρες πειθαρ-
χήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης κερδῆσαί τε τὴν
ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ τανῦν παραινῶ ὑμᾶς εὐ- 22
θυμεῖν, ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ

---

v.11 ὁ^{dnms} δέ^{c} ἑκατοντάρχης^{nnms} ὁ^{ddms} κυβερνήτης^{ndms} καί^{c} ὁ^{ddms} ναύκληρος^{ndms} πείθω^{viip3s} μᾶλλον^{bo} ἤ^{xo} ὁ^{ddnp} ὑπό^{p} ὁ^{dgms} Παῦλος^{ngms} λέγω^{vpppdnp}. **v.12** ἀνεύθετος^{agmsn} δέ^{c} ὁ^{dgms} λιμήν^{ngms} ὑπάρχω^{vppagms} πρός^{p} παραχειμασία^{nafs} ὁ^{dnmp} πολύς^{anmpc} τίθημι^{viam3p} βουλή^{nafs} ἀνάγω^{vnap} κἀκεῖθεν^{bo} εἰ^{qo} δύναμαι^{vopn3p} καταντάω^{vpaanmp} εἰς^{p} Φοῖνιξ^{nams} παραχειμάζω^{vnaa} λιμήν^{nams} ὁ^{dgfs} Κρήτη^{ngfs} βλέπω^{vppaams} κατά^{p} λίψ^{nams} καί^{c} κατά^{p} χῶρος^{nams}. **v.13** ὑποπνέω^{vpaagms} δέ^{c} νότος^{ngms} δοκέω^{vpaanmp} ὁ^{dgfs} πρόθεσις^{ngfs} κρατέω^{vnxa} αἴρω^{vpaanmp} ἆσσον^{bo} παραλέγομαι^{viin3p} ὁ^{dafs} Κρήτη^{nafs}. **v.14** μετά^{p} οὐ^{xo} πολύς^{aansn} δέ^{c} βάλλω^{viaa3s} κατά^{p} αὐτός^{rpgfs} ἄνεμος^{nnms} τυφωνικός^{anmsn} ὁ^{dnms} καλέω^{vpppnms} εὐροκλύδων^{nnms}. **v.15** συναρπάζω^{vpapgns} δέ^{c} ὁ^{dgns} πλοῖον^{ngns} καί^{c} μή^{xo} δύναμαι^{vppngns} ἀντοφθαλμέω^{vnpa} ὁ^{ddms} ἄνεμος^{ndms} ἐπιδίδωμι^{vpaanmp} φέρω^{viip1p}. **v.16** νησίον^{nans} δέ^{c} τι-σριανσ ὑποτρέχω^{vpaanmp} καλέω^{vpppans} Καῦδα^{nafs} μόλις^{bo} ἰσχύω^{viaa1p} περικρατής^{anmpn} γίνομαι^{vnad} ὁ^{dgfs} σκάφη^{ngfs}. **v.17** ὅς^{rrafs} αἴρω^{vpaanmp} βοήθεια^{ndfp} χράομαι^{viin3p} ὑποζώννυμι^{vppanmp} ὁ^{dans} πλοῖον^{nans} φοβέομαι^{vppnnmp} τέ^{xo} μή^{xo} εἰς^{p} ὁ^{dafs} Σύρτις^{nafs} ἐκπίπτω^{vsaa3p} χαλάω^{vpaanmp} ὁ^{dans} σκεῦος^{nans} οὕτω^{bo} φέρω^{viip3p}. **v.18** σφοδρῶς^{bo} δέ^{c} χειμάζω^{vpppgmp} ἐγώ$^{rpg-p}$ ὁ^{ddfs} ἐξῆς^{bo} ἐκβολή^{nafs} ποιέω^{viim3p}. **v.19** καί^{c} ὁ^{ddfs} τρίτος^{adfsn} αὐτόχειρ^{anmpn} ὁ^{dafs} σκευή^{nafs} ὁ^{dgns} πλοῖον^{ngns} ῥίπτω^{viaa1p}. **v.20** μήτε^{c} δέ^{c} ἥλιος^{ngms} μήτε^{c} ἄστρον^{ngnp} ἐπιφαίνω^{vppagnp} ἐπί^{p} πολύς^{aampc} ἡμέρα^{nafp} χειμών^{ngms} τέ^{xo} οὐ^{xo} ὀλίγος^{agmsn} ἐπίκειμαι^{vppngms} λοιπός^{aansn} περιαιρέω^{viip3s} πᾶς^{anfsn} ἐλπίς^{nnfs} ὁ^{dgms} σῴζω^{vnpp} ἐγώ$^{rpa-p}$. **v.21** πολύς^{agfsn} δέ^{c} ἀσιτία^{ngfs} ὑπάρχω^{vppagfs} τότε^{bo} ἵστημι^{vpapnms} ὁ^{dnms} Παῦλος^{nnms} ἐν^{p} μέσος^{adnsn} αὐτός^{rpgmp} λέγω^{viaa3s} δεῖ^{viiq3s} μέν^{xo} ὦ^{i} ἀνήρ^{nvmp} πειθαρχέω^{vpaaamp} ἐγώ$^{rpd-s}$ μή^{xo} ἀνάγω^{vnpp} ἀπό^{p} ὁ^{dgfs} Κρήτη^{ngfs} κερδαίνω^{vnaa} τέ^{xo} ὁ^{dafs} ὕβρις^{nafs} οὗτος^{rdafs} καί^{c} ὁ^{dafs} ζημία^{nafs}.

23 πλοίου. παρέστη γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ θεοῦ οὗ
24 εἰμὶ ᾧ καὶ λατρεύω. λέγων Μὴ φοβοῦ Παῦλε Καίσαρί σε δεῖ
παραστῆναι καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέ-
25 οντας μετὰ σοῦ. διὸ εὐθυμεῖτε ἄνδρες, πιστεύω γὰρ τῷ θεῷ
26 ὅτι οὕτως ἔσται καθ ὃν τρόπον λελάληταί μοι. εἰς νῆσον δέ
27 τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγέ-
νετο διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς
28 ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. καὶ βολί-
σαντες εὗρον ὀργυιὰς εἴκοσι βραχὺ δὲ διαστήσαντες καὶ πάλιν
29 βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε, φοβούμενοί τε μήπως
εἰς τραχεῖς τόπους ἐκπέσωσιν ἐκ πρύμνης ῥίψαντες ἀγκύρας
30 τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι. τῶν δὲ ναυτῶν ζητούν-
των φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν
θάλασσαν προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτεί-
31 νειν. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις
Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ ὑμεῖς σωθῆναι οὐ δύνα-
32 σθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης καὶ
33 εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι
παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων Τεσ-
σαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατε-
34 λεῖτε μηδὲν προσλαβόμενοι. διὸ παρακαλῶ ὑμᾶς προσλαβεῖν

---

v.22 καί[c] νῦν[bo] παραινέω[vipa1s] σύ[rpa-p] εὐθυμέω[vnpa] ἀποβολή[nnfs] γάρ[c] ψυχή[ngfs] οὐδείς[anfsn] εἰμί[vifx3s] ἐκ[p] σύ[rpg-p] πλήν[bo] ὁ[dgns] πλοῖον[ngns]. **v.23** παρίστημι[viaa3s] γάρ[c] ἐγώ[rpd-s] ὁ[ddfs] νύξ[ndfs] οὗτος[rddfs] ἄγγελος[nnms] ὁ[dgms] θεός[ngms] ὅς[rrgms] εἰμί[vipx1s] ὅς[rrdms] καί[c] λατρεύω[vipa1s]. **v.24** λέγω[vppanms] μή[xo] φοβέομαι[vdpm2s] Παῦλος[nvms] Καῖσαρ[ndms] σύ[rpa-s] δεῖ[vipq3s] παρίστημι[vnaa] καί[c] ἰδού[vdaa2s] χαρίζομαι[vixn3s] σύ[rpd-s] ὁ[dnms] θεός[nnms] πᾶς[aampn] ὁ[damp] πλέω[vppaamp] μετά[p] σύ[rpg-s]. **v.25** διό[c] εὐθυμέω[vdpa2p] ἀνήρ[nvmp] πιστεύω[vipa1s] γάρ[c] ὁ[ddms] θεός[ndms] ὅτι[c] οὕτω[bo] εἰμί[vifx3s] κατά[p] ὅς[rrams] τρόπος[nams] λαλέω[vixp3s] ἐγώ[rpd-s]. **v.26** εἰς[p] νῆσος[nafs] δέ[c] τι-σριαφσ δεῖ[vipq3s] ἐγώ[rpa-p] ἐκπίπτω[vnaa]. **v.27** ὡς[bo] δέ[c] τεσσαρεσκαιδέκατος[anfsn] νύξ[nnfs] γίνομαι[viad3s] διαφέρω[vpppgmp] ἐγώ[rpg-p] ἐν[p] ὁ[ddms] Ἀδρίας[ndms] κατά[p] μέσος[aansn] ὁ[dgfs] νύξ[ngfs] ὑπονοέω[viia3p] ὁ[dnmp] ναῦτης[nnmp] προσάγω[vnpa] τι-σριαφσ αὐτός[rpdmp] χώρα[nafs]. **v.28** καί[c] βολίζω[vpaanmp] εὑρίσκω[viaa3p] ὀργυιά[nafp] εἴκοσι[nnmp] βραχύς[aansn] δέ[c] διΐστημι[vpaanmp] καί[c] πάλιν[bo] βολίζω[vpaanmp] εὑρίσκω[viaa3p] ὀργυιά[nafp] δεκαπέντε[tn]. **v.29** φοβέομαι[vppnnmp] τέ[xo] μή&πώς[c] εἰς[p] τραχύς[aampn] τόπος[namp] ἐκπίπτω[vsaa3p] ἐκ[p] πρύμνα[ngfs] ῥίπτω[vpaanmp] ἄγκυρα[nafp] τέσσαρες[nafp] εὔχομαι[viin3p] ἡμέρα[nafs] γίνομαι[vnad]. **v.30** ὁ[dgmp] δέ[c] ναῦτης[ngmp] ζητέω[vppagmp] φεύγω[vnaa] ἐκ[p] ὁ[dgns] πλοῖον[ngns] καί[c] χαλάω[vpaagmp] ὁ[dafs] σκάφη[nafs] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] πρόφασις[ndfs] ὡς[bo] ἐκ[p] πρῷρα[ngfs] μέλλω[vppagmp] ἄγκυρα[nafp] ἐκτείνω[vnpa]. **v.31** λέγω[viaa3s] ὁ[dnms] Παῦλος[nnms] ὁ[ddms] ἑκατοντάρχης[ndms] καί[c] ὁ[ddmp] στρατιώτης[ndmp] ἐάν[qo] μή[xo] οὗτος[rdnmp] μένω[vsaa3p] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] σύ[rpn-p] σῴζω[vnap] οὐ[xo] δύναμαι[vipn2p]. **v.32** τότε[bo] ὁ[dnmp] στρατιώτης[nnmp] ἀποκόπτω[viaa3p] ὁ[danp] σχοινίον[nanp] ὁ[dgfs] σκάφη[ngfs] καί[c] ἐάω[viaa3p] αὐτός[rpafs] ἐκπίπτω[vnaa]. **v.33** ἄχρι[p] δέ[c] ὅς[rrgns] μέλλω[viia3s] ἡμέρα[nnfs] γίνομαι[vnpn] παρακαλέω[viia3s] ὁ[dnms] Παῦλος[nnms] ἅπας[aampn] μεταλαμβάνω[vnaa] τροφή[ngfs] λέγω[vppanms] τεσσαρεσκαιδέκατος[aafsn] σήμερον[bo] ἡμέρα[nafs] προσδοκάω[vppanmp] ἄσιτος[anmpn] διατελέω[vipa2p] μηδείς[aansn] προσλαμβάνω[vpamnmp].

τροφῆς, τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει οὐδε-
νὸς γὰρ ὑμῶν θριξ ἐκ τῆς κεφαλῆς πεσεῖται. εἴπων δὲ ταῦτα 35
καὶ λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων καὶ κλά-
σας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ 36
προσελάβοντο τροφῆς. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ 37
διακόσιαι ἑβδομήκονταἑξ. κορεσθέντες δὲ τροφῆς ἐκούφιζον 38
τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. Ὅτε δὲ 39
ἡμέρα ἐγένετο τὴν γῆν οὐκ ἐπεγίνωσκον κόλπον δέ τινα κατε-
νόουν ἔχοντα αἰγιαλὸν εἰς ὃν ἐβουλεύσαντο, εἰ δύναιντο ἐξῶσαι
τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν 40
ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων καὶ ἐπάραντες τὸν
ἀρτέμονα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. περιπεσόντες 41
δὲ εἰς τόπον διθάλασσον ἐπώκειλαν τὴν ναῦν καὶ ἡ μὲν πρῷρα
ἐρείσασα ἔμεινεν ἀσάλευτος ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας
τῶν κυμάτων. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δε- 42
σμώτας ἀποκτείνωσιν Μήτις ἐκκολυμβήσας διαφύγοι. ὁ δὲ 43
ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον ἐκώλυσεν αὐ-
τοὺς τοῦ βουλήματος ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν
ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι. καὶ τοὺς λοιποὺς 44
οὓς μὲν ἐπὶ σανίσιν οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου καὶ
οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

---

v.34 διό[c] παρακαλέω[vipa1s] σύ[rpa-p] προσλαμβάνω[vnaa] τροφή[ngfs] οὗτος[rdnns] γάρ[c] πρός[p] ὁ[dgfs] ὑμέτερος[rsgfs] σωτηρία[ngfs] ὑπάρχω[vipa3s] οὐδείς[agmsn] γάρ[c] σύ[rpg-p] θρίξ[nnfs] ἐκ[p] ὁ[dgfs] κεφαλή[ngfs] πίπτω[vifd3s]. **v.35** λέγω[vpaanms] δέ[c] οὗτος[rdanp] καί[c] λαμβάνω[vpaanms] ἄρτος[nams] εὐχαριστέω[viaa3s] ὁ[ddms] θεός[ndms] ἐνώπιον[bo] πᾶς[agmpn] καί[c] κλάω[vpaanms] ἄρχω[viad3s] ἐσθίω[vnpa]. **v.36** εὔθυμος[anmpn] δέ[c] γίνομαι[vpadnmp] πᾶς[anmpn] καί[c] αὐτός[rpnmp] προσλαμβάνω[viam3p] τροφή[ngfs]. **v.37** εἰμί[viix1p] δέ[c] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] ὁ[dnfp] πᾶς[anfpn] ψυχή[nnfp] διακόσιοι[nnfp] ἑβδομήκοντα[tn]. **v.38** κορέννυμι[vpapnmp] δέ[c] τροφή[ngfs] κουφίζω[viia3p] ὁ[dans] πλοῖον[nans] ἐκβάλλω[vppmnmp] ὁ[dams] σῖτος[nams] εἰς[p] ὁ[dafs] θάλασσα[nafs]. **v.39** ὅτε[bo] δέ[c] ἡμέρα[nnfs] γίνομαι[viad3s] ὁ[dafs] γῆ[nafs] οὐ[xo] ἐπιγινώσκω[viia3p] κόλπος[nams] δέ[c] τι-σριαμσ κατανοέω[viia3p] ἔχω[vppaams] αἰγιαλός[nams] εἰς[p] ὅς[rrams] βουλεύομαι[viad3p] εἰ[qo] δύναμαι[vopn3p] ἐξωθέω[vnaa] ὁ[dans] πλοῖον[nans]. **v.40** καί[c] ὁ[dafp] ἄγκυρα[nafp] περιαιρέω[vpaanmp] ἐάω[viia3p] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] ἅμα[bo] ἀνίημι[vpaanmp] ὁ[dafp] ζευκτηρία[nafp] ὁ[dgnp] πηδάλιον[ngnp] καί[c] ἐπαίρω[vpaanmp] ὁ[dams] ἀρτέμων[nams] ὁ[ddfs] πνέω[vppadfs] κατέχω[viia3p] εἰς[p] ὁ[dams] αἰγιαλός[nams]. **v.41** περιπίπτω[vpaanmp] δέ[c] εἰς[p] τόπος[nams] διθάλασσος[aamsn] ἐποκέλλω[viaa3p] ὁ[dafs] ναῦς[nafs] καί[c] ὁ[dnfs] μέν[xo] πρῷρα[nnfs] ἐρείδω[vpaanfs] μένω[viaa3s] ἀσάλευτος[anfsn] ὁ[dnfs] δέ[c] πρύμνα[nnfs] λύω[viip3s] ὑπό[p] ὁ[dgfs] βία[ngfs] ὁ[dgnp] κῦμα[ngnp]. **v.42** ὁ[dgmp] δέ[c] στρατιώτης[ngmp] βουλή[nnfs] γίνομαι[viad3s] ἵνα[c] ὁ[damp] δεσμώτης[namp] ἀποκτείνω[vspa3p] μή[xo] ἐκκολυμβάω[vpaanms] διαφεύγω[voaa3s]. **v.43** ὁ[dnms] δέ[c] ἑκατοντάρχης[nnms] βούλομαι[vppnnms] διασῴζω[vnaa] ὁ[dams] Παῦλος[nams] κωλύω[viaa3s] αὐτός[rpamp] ὁ[dgns] βούλημα[ngns] κελεύω[viaa3s] τέ[xo] ὁ[damp] δύναμαι[vppnamp] κολυμβάω[vnpa] ἀπορίπτω[vpaaamp] πρῶτος[aampn] ἐπί[p] ὁ[dafs] γῆ[nafs] ἔξειμι[vnpx]. **v.44** καί[c] ὁ[damp] λοιπός[aampn] ὅς[rramp] μέν[xo] ἐπί[p] σανίς[ndfp] ὅς[rramp] δέ[c] ἐπί[p] τι-σριγνπ ὁ[dgnp] ἀπό[p] ὁ[dgns] πλοῖον[ngns] καί[c] οὕτω[bo] γίνομαι[viad3s] πᾶς[aampn] διασῴζω[vnap] ἐπί[p] ὁ[dafs] γῆ[nafs].

28 Καὶ διασωθέντες τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖ-
2 ται. οἵ δέ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν
ἡμῖν ἀνάψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν
3 ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος. συστρέψαντος δὲ τοῦ
Παύλου φρυγάνων πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν ἔχιδνα
4 ἐκ τῆς θέρμης ἐξελθοῦσα καθῆψεν τῆς χειρὸς αὐτοῦ. ὡς δὲ
εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ
ἔλεγον πρὸς ἀλλήλους Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος
5 ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν. ὁ μὲν
6 οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν. οἱ
δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω
νεκρόν ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μη-
δὲν ἄτοπον εἰς αὐτὸν γινόμενον μεταβαλλόμενοι ἔλεγον θεόν
7 αὐτὸν εἶναι. Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία
τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ ὃς ἀναδεξάμενος ἡμᾶς
8 τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ
Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι
πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος ἐπιθεὶς τὰς χεῖ-
9 ρας αὐτῷ ἰάσατο αὐτόν. τούτου οὖν γενομένου καὶ οἱ λοιποὶ
οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ προσήρχοντο καὶ ἐθεραπεύ-
10 οντο. οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγομένοις

---

στὸν Ἰησοῦν εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. συνετάφη- 4
μεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον ἵνα ὥσπερ
ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός οὕτως
καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. εἰ γὰρ σύμφυ- 5
τοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ ἀλλὰ καὶ τῆς
ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες ὅτι ὁ παλαιὸς ἡμῶν 6
ἄνθρωπος συνεσταυρώθη ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρ-
τίας τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ, ὁ γὰρ ἀποθανὼν 7
δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ 8
πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ. εἰδότες ὅτι Χριστὸς ἐγερ- 9

---

v.18 ἄρα^{xo} οὖν^{c} ὡς^{bo} διά^{p} εἷς^{ngms} παράπτωμα^{ngns} εἰς^{p} πᾶς^{aampn} ἄνθρωπος^{namp} εἰς^{p} κατάκριμα^{nans} οὕτω^{bo} καί^{c} διά^{p} εἷς^{ngms} δικαίωμα^{ngns} εἰς^{p} πᾶς^{aampn} ἄνθρωπος^{namp} εἰς^{p} δικαίωσις^{nafs} ζωή^{ngfs}. **v.19** ὥσπερ^{bo} γάρ^{c} διά^{p} ὁ^{dgfs} παρακοή^{ngfs} ὁ^{dgms} εἷς^{ngms} ἄνθρωπος^{ngms} ἁμαρτωλός^{anmpn} καθίστημι^{viap3p} ὁ^{dnmp} πολύς^{anmpn} οὕτω^{bo} καί^{c} διά^{p} ὁ^{dgfs} ὑπακοή^{ngfs} ὁ^{dgms} εἷς^{ngms} δίκαιος^{anmpn} καθίστημι^{vifp3p} ὁ^{dnmp} πολύς^{anmpn}. **v.20** νόμος^{nnms} δέ^{c} παρεισέρχομαι^{viaa3s} ἵνα^{c} πλεονάζω^{vsaa3s} ὁ^{dnns} παράπτωμα^{nnns} ὅς^{bo} δέ^{c} πλεονάζω^{viaa3s} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ὑπερπερισσεύω^{viaa3s} ὁ^{dnfs} χάρις^{nnfs}. **v.21** ἵνα^{c} ὥσπερ^{bo} βασιλεύω^{viaa3s} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ἐν^{p} ὁ^{ddms} θάνατος^{ndms} οὕτω^{bo} καί^{c} ὁ^{dnfs} χάρις^{nnfs} βασιλεύω^{vsaa3s} διά^{p} δικαιοσύνη^{ngfs} εἰς^{p} ζωή^{nafs} αἰώνιος^{aafsn} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$. **6. v.1** τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} ἐπιμένω^{vifa1p} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ἵνα^{c} ὁ^{dnfs} χάρις^{nnfs} πλεονάζω^{vsaa3s}. **v.2** μή^{xo} γίνομαι^{voad3s} ὅστις^{rrnmp} ἀποθνῄσκω^{viaa1p} ὁ^{ddfs} ἁμαρτία^{ndfs} πῶς^{bo} ἔτι^{bo} ζάω^{vifa1p} ἐν^{p} αὐτός^{rpdfs}. **v.3** ἤ^{xo} ἀγνοέω^{vipa2p} ὅτι^{c} ὅσος^{rcnmp} βαπτίζω^{viap1p} εἰς^{p} Χριστός^{nams} Ἰησοῦς^{nams} εἰς^{p} ὁ^{dams} θάνατος^{nams} αὐτός^{rpgms} βαπτίζω^{viap1p}. **v.4** συνθάπτω^{viap1p} οὖν^{c} αὐτός^{rpdms} διά^{p} ὁ^{dgns} βάπτισμα^{ngns} εἰς^{p} ὁ^{dams} θάνατος^{nams} ἵνα^{c} ὥσπερ^{bo} ἐγείρω^{viap3s} Χριστός^{nnms} ἐκ^{p} νεκρός^{agmpn} διά^{p} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} πατήρ^{ngms} οὕτω^{bo} καί^{c} ἐγώ$^{rpn-p}$ ἐν^{p} καινότης^{ndfs} ζωή^{ngfs} περιπατέω^{vsaa1p}. **v.5** εἰ^{qo} γάρ^{c} σύμφυτος^{anmpn} γίνομαι^{vixa1p} ὁ^{ddns} ὁμοίωμα^{ndns} ὁ^{dgms} θάνατος^{ngms} αὐτός^{rpgms} ἀλλά^{c} καί^{c} ὁ^{dgfs} ἀνάστασις^{ngfs} εἰμί^{vifx1p}. **v.6** οὗτος^{rdans} γινώσκω^{vppanmp} ὅτι^{c} ὁ^{dnms} παλαιός^{anmsn} ἐγώ$^{rpg-p}$ ἄνθρωπος^{nnms} συσταυρόω^{viap3s} ἵνα^{c} καταργέω^{vsap3s} ὁ^{dnns} σῶμα^{nnns} ὁ^{dgfs} ἁμαρτία^{ngfs} ὁ^{dgms} μηκέτι^{bo} δουλεύω^{vnpa} ἐγώ$^{rpa-p}$ ὁ^{ddfs} ἁμαρτία^{ndfs}. **v.7** ὁ^{dnms} γάρ^{c} ἀποθνῄσκω^{vpaanms} δικαιόω^{vixp3s} ἀπό^{p} ὁ^{dgfs} ἁμαρτία^{ngfs}. **v.8** εἰ^{qo} δέ^{c} ἀποθνῄσκω^{viaa1p} σύν^{p} Χριστός^{ndms} πιστεύω^{vipa1p} ὅτι^{c} καί^{c} συζάω^{vifa1p} αὐτός^{rpdms}.

θεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει θάνατος αὐτοῦ οὐκέτι κυρι-
10 εύει. ὃ γὰρ ἀπέθανεν τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ ζῇ
11 τῷ θεῷ. οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι
τῇ ἁμαρτίᾳ ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.
12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ
13 ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. μηδὲ παριστάνετε
τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ ἀλλὰ παραστήσατε ἑ-
αυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη ὑμῶν ὅπλα
14 δικαιοσύνης τῷ θεῷ. ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει, οὐ γάρ
15 ἐστε ὑπὸ νόμον ἀλλ᾽ ὑπὸ χάριν. Τί οὖν ἁμαρτήσομεν, ὅτι οὐκ
16 ἐσμὲν ὑπὸ νόμον ἀλλ᾽ ὑπὸ χάριν μὴ γένοιτο. οὐκ οἴδατε ὅτι ᾧ
παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν δοῦλοί ἐστε ᾧ ὑπα-
κούετε ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην.
17 χάρις δὲ τῷ θεῷ ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας ὑπηκούσατε δὲ ἐκ
18 καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. ἐλευθερωθέντες
19 δὲ ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ. ἀνθρώπινον
λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν ὥσπερ γὰρ παρε-
στήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς
τὴν ἀνομίαν οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ
20 δικαιοσύνῃ εἰς ἁγιασμόν. ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας
21 ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ

---

v.9 οἶδα^{vpxanmp} ὅτι^{c} Χριστός^{nnms} ἐγείρω^{vpapnms} ἐκ^{p} νεκρός^{agmpn} οὐκέτι^{bo} ἀποθνῄσκω^{vipa3s} θάνατος^{nnms} αὐτός^{rpgms} οὐκέτι^{bo} κυριεύω^{vipa3s}. **v.10** ὅς^{rrans} γάρ^{c} ἀποθνῄσκω^{viaa3s} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ἀποθνῄσκω^{viaa3s} ἐφάπαξ^{bo} ὅς^{rrans} δέ^{c} ζάω^{vipa3s} ζάω^{vipa3s} ὁ^{ddms} θεός^{ndms}. **v.11** οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ λογίζομαι^{vdpn2p} ἑαυτοῦ^{rxamp} νεκρός^{aampn} μέν^{xo} εἰμί^{vnpx} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ζάω^{vppaamp} δέ^{c} ὁ^{ddms} θεός^{ndms} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-p}$. **v.12** μή^{xo} οὖν^{c} βασιλεύω^{vdpa3s} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ἐν^{p} ὁ^{ddns} θνητός^{adnsn} σύ$^{rpg-p}$ σῶμα^{ndns} εἰς^{p} ὁ^{dans} ὑπακούω^{vnpa} αὐτός^{rpdfs} ἐν^{p} ὁ^{ddfp} ἐπιθυμία^{ndfp} αὐτός^{rpgns}. **v.13** μηδέ^{c} παρίστημι^{vdpa2p} ὁ^{danp} μέλος^{nanp} σύ$^{rpg-p}$ ὅπλον^{nanp} ἀδικία^{ngfs} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ἀλλά^{c} παρίστημι^{vdaa2p} ἑαυτοῦ^{rxamp} ὁ^{ddms} θεός^{ndms} ὡς^{bo} ἐκ^{p} νεκρός^{agmpn} ζάω^{vppaamp} καί^{c} ὁ^{danp} μέλος^{nanp} σύ$^{rpg-p}$ ὅπλον^{nanp} δικαιοσύνη^{ngfs} ὁ^{ddms} θεός^{ndms}. **v.14** ἁμαρτία^{nnfs} γάρ^{c} σύ$^{rpg-p}$ οὐ^{xo} κυριεύω^{vifa3s} οὐ^{xo} γάρ^{c} εἰμί^{vipx2p} ὑπό^{p} νόμος^{nams} ἀλλά^{c} ὑπό^{p} χάρις^{nafs}. **v.15** τίς^{rqnns} οὖν^{c} ἁμαρτάνω^{vifa1p} ὅτι^{c} οὐ^{xo} εἰμί^{vipx1p} ὑπό^{p} νόμος^{nams} ἀλλά^{c} ὑπό^{p} χάρις^{nafs} μή^{xo} γίνομαι^{voad3s}. **v.16** οὐ^{xo} οἶδα^{vixa2p} ὅτι^{c} ὅς^{rrdns} παρίστημι^{vipa2p} ἑαυτοῦ^{rxamp} δοῦλος^{namp} εἰς^{p} ὑπακοή^{nafs} δοῦλος^{nnmp} εἰμί^{vipx2p} ὅς^{rrdns} ὑπακούω^{vipa2p} ἤτοι^{c} ἁμαρτία^{ngfs} εἰς^{p} θάνατος^{nams} ἤ^{xo} ὑπακοή^{ngfs} εἰς^{p} δικαιοσύνη^{nafs}. **v.17** χάρις^{nnfs} δέ^{c} ὁ^{ddms} θεός^{ndms} ὅτι^{c} εἰμί^{viix2p} δοῦλος^{nnmp} ὁ^{dgfs} ἁμαρτία^{ngfs} ὑπακούω^{viaa2p} δέ^{c} ἐκ^{p} καρδία^{ngfs} εἰς^{p} ὅς^{rrams} παραδίδωμι^{viap2p} τύπος^{nams} διδαχή^{ngfs}. **v.18** ἐλευθερόω^{vpapnmp} δέ^{c} ἀπό^{p} ὁ^{dgfs} ἁμαρτία^{ngfs} δουλόω^{viap2p} ὁ^{ddfs} δικαιοσύνη^{ndfs}. **v.19** ἀνθρώπινος^{aansn} λέγω^{vipa1s} διά^{p} ὁ^{dafs} ἀσθένεια^{nafs} ὁ^{dgfs} σάρξ^{ngfs} σύ$^{rpg-p}$ ὥσπερ^{bo} γάρ^{c} παρίστημι^{viaa2p} ὁ^{danp} μέλος^{nanp} σύ$^{rpg-p}$ δοῦλος^{aanpn} ὁ^{ddfs} ἀκαθαρσία^{ndfs} καί^{c} ὁ^{ddfs} ἀνομία^{ndfs} εἰς^{p} ὁ^{dafs} ἀνομία^{nafs} οὕτω^{bo} νῦν^{bo} παρίστημι^{vdaa2p} ὁ^{danp} μέλος^{nanp} σύ$^{rpg-p}$ δοῦλος^{aanpn} ὁ^{ddfs} δικαιοσύνη^{ndfs} εἰς^{p} ἁγιασμός^{nams}. **v.20** ὅτε^{bo} γάρ^{c} δοῦλος^{nnmp} εἰμί^{viix2p} ὁ^{dgfs} ἁμαρτία^{ngfs} ἐλεύθερος^{anmpn} εἰμί^{viix2p} ὁ^{ddfs} δικαιοσύνη^{ndfs}.

οἷς νῦν ἐπαισχύνεσθε τὸ γὰρ τέλος ἐκείνων θάνατος. νυνὶ δέ 22
ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας δουλωθέντες δὲ τῷ θεῷ ἔχετε
τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν τὸ δὲ τέλος ζωὴν αἰώνιον. τὰ 23
γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ
αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

7 Ἢ ἀγνοεῖτε ἀδελφοί γινώσκουσιν γὰρ νόμον λαλῶ ὅτι ὁ νό- **7**
μος κυριεύει τοῦ ἀνθρώπου ἐφ ὅσον χρόνον ζῇ. 2
ἡ γὰρ ὕπαν-
δρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ
κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. ἄρα οὖν ζῶντος τοῦ 3
ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, ἐὰν δὲ
ἀποθάνῃ ὁ ἀνήρ ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου τοῦ μὴ εἶναι
αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ. ὥστε ἀδελφοί μου 4
καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ
εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι ἵνα καρπο-
φορήσωμεν τῷ θεῷ. ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί τὰ παθήματα 5
τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν
εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ, νυνὶ δὲ κατηργήθημεν ἀπὸ 6
τοῦ νόμου ἀποθανόντες ἐν ᾧ κατειχόμεθα ὥστε δουλεύειν ἡ-
μᾶς ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος. Τί 7
οὖν ἐροῦμεν ὁ νόμος ἁμαρτία μὴ γένοιτο, ἀλλὰ τὴν ἁμαρτίαν
οὐκ ἔγνων εἰ μὴ διὰ νόμου, τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν εἰ

---

v.21 τίς^{rqams} οὖν^{c} καρπός^{nams} ἔχω^{viia2p} τότε^{bo} ἐπί^{p} ὅς^{rrdnp} νῦν^{bo} ἐπαισχύνομαι^{vipn2p} ὁ^{dnns} γάρ^{c} τέλος^{nnns} ἐκεῖνος^{rdgmp} θάνατος^{nnms}. **v.22** νυνί^{bo} δέ^{c} ἐλευθερόω^{vpapnmp} ἀπό^{p} ὁ^{dgfs} ἁμαρτία^{ngfs} δουλόω^{vpapnmp} δέ^{c} ὁ^{ddms} θεός^{ndms} ἔχω^{vipa2p} ὁ^{dams} καρπός^{nams} σύ$^{rpg-p}$ εἰς^{p} ἁγιασμός^{nams} ὁ^{dnns} δέ^{c} τέλος^{nnns} ζωή^{nafs} αἰώνιος^{aafsn}. **v.23** ὁ^{dnnp} γάρ^{c} ὀψώνιον^{nnnp} ὁ^{dgfs} ἁμαρτία^{ngfs} θάνατος^{nnms} ὁ^{dnns} δέ^{c} χάρισμα^{nnns} ὁ^{dgms} θεός^{ngms} ζωή^{nnfs} αἰώνιος^{anfsn} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-p}$. **7. v.1** ἤ^{xo} ἀγνοέω^{vipa2p} ἀδελφός^{nvmp} γινώσκω^{vppadmp} γάρ^{c} νόμος^{nams} λαλέω^{vipa1s} ὅτι^{c} ὁ^{dnms} νόμος^{nnms} κυριεύω^{vipa3s} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐπί^{p} ὅσος^{rcams} χρόνος^{nams} ζάω^{vipa3s}. **v.2** ὁ^{dnfs} γάρ^{c} ὕπανδρος^{anfsn} γυνή^{nnfs} ὁ^{ddms} ζάω^{vppadms} ἀνήρ^{ndms} δέω^{vixp3s} νόμος^{ndms} ἐάν^{qo} δέ^{c} ἀποθνήσκω^{vsaa3s} ὁ^{dnms} ἀνήρ^{nnms} καταργέω^{vixp3s} ἀπό^{p} ὁ^{dgms} νόμος^{ngms} ὁ^{dgms} ἀνήρ^{ngms}. **v.3** ἄρα^{xo} οὖν^{c} ζάω^{vppagms} ὁ^{dgms} ἀνήρ^{ngms} μοιχαλίς^{nnfs} χρηματίζω^{vifa3s} ἐάν^{qo} γίνομαι^{vsad3s} ἀνήρ^{ndms} ἕτερος^{admsn} ἐάν^{qo} δέ^{c} ἀποθνήσκω^{vsaa3s} ὁ^{dnms} ἀνήρ^{nnms} ἐλεύθερος^{anfsn} εἰμί^{vipx3s} ἀπό^{p} ὁ^{dgms} νόμος^{ngms} ὁ^{dgms} μή^{xo} εἰμί^{vnpx} αὐτός^{rpafs} μοιχαλίς^{nafs} γίνομαι^{vpadafs} ἀνήρ^{ndms} ἕτερος^{admsn}. **v.4** ὥστε^{c} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ καί^{c} σύ$^{rpn-p}$ θανατόω^{viap2p} ὁ^{ddms} νόμος^{ndms} διά^{p} ὁ^{dgns} σῶμα^{ngns} ὁ^{dgms} Χριστός^{ngms} εἰς^{p} ὁ^{dans} γίνομαι^{vnad} σύ$^{rpa-p}$ ἕτερος^{admsn} ὁ^{ddms} ἐκ^{p} νεκρός^{agmpn} ἐγείρω^{vpapdms} ἵνα^{c} καρποφορέω^{vsaa1p} ὁ^{ddms} θεός^{ndms}. **v.5** ὅτε^{bo} γάρ^{c} εἰμί^{viix1p} ἐν^{p} ὁ^{ddfs} σάρξ^{ndfs} ὁ^{dnnp} πάθημα^{nnnp} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ὁ^{dnnp} διά^{p} ὁ^{dgms} νόμος^{ngms} ἐνεργέω^{viim3s} ἐν^{p} ὁ^{ddnp} μέλος^{ndnp} ἐγώ$^{rpg-p}$ εἰς^{p} ὁ^{dans} καρποφορέω^{vnaa} ὁ^{ddms} θάνατος^{ndms}. **v.6** νυνί^{bo} δέ^{c} καταργέω^{viap1p} ἀπό^{p} ὁ^{dgms} νόμος^{ngms} ἀποθνήσκω^{vpaanmp} ἐν^{p} ὅς^{rrdms} κατέχω^{viip1p} ὥστε^{c} δουλεύω^{vnpa} ἐγώ$^{rpa-p}$ ἐν^{p} καινότης^{ndfs} πνεῦμα^{ngns} καί^{c} οὐ^{xo} παλαιότης^{ndfs} γράμμα^{ngns}.

8 μὴ ὁ νόμος ἔλεγεν Οὐκ ἐπιθυμήσεις. ἀφορμὴν δὲ λαβοῦσα
ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπι-
9 θυμίαν, χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά. ἐγὼ δὲ ἔζων χωρὶς
νόμου ποτέ, ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν ἐγὼ
10 δὲ ἀπέθανον. καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς
11 θάνατον, ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς
12 ἐξηπάτησέν με καὶ δι᾽ αὐτῆς ἀπέκτεινεν. ὥστε ὁ μὲν νόμος
13 ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. Τὸ οὖν ἀ-
γαθὸν ἐμοὶ γέγονεν θάνατος μὴ γένοιτο, ἀλλὰ ἡ ἁμαρτία ἵνα
φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον ἵνα
γένηται καθ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.
14 οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν ἐγὼ δὲ σαρκικός
15 εἰμι πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατεργάζομαι οὐ
γινώσκω, οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω ἀλλ ὃ μισῶ τοῦτο ποιῶ.
16, 17 εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ σύμφημι τῷ νόμῳ ὅτι καλός. νυνὶ
δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρ-
18 τία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί τοῦτ᾽ἔστιν ἐν τῇ σαρκί μου
ἀγαθόν, τὸ γὰρ θέλειν παράκειταί μοι τὸ δὲ κατεργάζεσθαι τὸ
19 καλὸν οὐχ εὑρίσκω. οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν ἀλλ᾽ ὃ οὐ
20 θέλω κακὸν τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ

---

v.7 τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} ὁ^{dnms} νόμος^{nnms} ἁμαρτία^{nnfs} μή^{xo} γίνομαι^{voad3s} ἀλλά^{c} ὁ^{dafs} ἁμαρτία^{nafs} οὐ^{xo} γινώσκω^{viaa1s} εἰ^{qo} μή^{xo} διά^{p} νόμος^{ngms} ὁ^{dafs} τέ^{xo} γάρ^{c} ἐπιθυμία^{nafs} οὐ^{xo} οἶδα^{viya1s} εἰ^{qo} μή^{xo} ὁ^{dnms} νόμος^{nnms} λέγω^{viia3s} οὐ^{xo} ἐπιθυμέω^{vifa2s}. **v.8** ἀφορμή^{nafs} δέ^{c} λαμβάνω^{vpaanfs} ὁ^{dnfs} ἁμαρτία^{nnfs} διά^{p} ὁ^{dgfs} ἐντολή^{ngfs} κατεργάζομαι^{viad3s} ἐν^{p} ἐγώ$^{rpd-s}$ πᾶς^{aafsn} ἐπιθυμία^{nafs} χωρίς^{bo} γάρ^{c} νόμος^{ngms} ἁμαρτία^{nnfs} νεκρός^{anfsn}. **v.9** ἐγώ$^{rpn-s}$ δέ^{c} ζάω^{viia1s} χωρίς^{bo} νόμος^{ngms} ποτέ^{xo} ἔρχομαι^{vpaagfs} δέ^{c} ὁ^{dgfs} ἐντολή^{ngfs} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ἀναζάω^{viaa3s} ἐγώ$^{rpn-s}$ δέ^{c} ἀποθνῄσκω^{viaa1s}. **v.10** καί^{c} εὑρίσκω^{viap3s} ἐγώ$^{rpd-s}$ ὁ^{dnfs} ἐντολή^{nnfs} ὁ^{dnfs} εἰς^{p} ζωή^{nafs} οὗτος^{rdnfs} εἰς^{p} θάνατος^{nams}. **v.11** ὁ^{dnfs} γάρ^{c} ἁμαρτία^{nnfs} ἀφορμή^{nafs} λαμβάνω^{vpaanfs} διά^{p} ὁ^{dgfs} ἐντολή^{ngfs} ἐξαπατάω^{viaa3s} ἐγώ$^{rpa-s}$ καί^{c} διά^{p} αὐτός^{rpgfs} ἀποκτείνω^{viaa3s}. **v.12** ὥστε^{c} ὁ^{dnms} μέν^{xo} νόμος^{nnms} ἅγιος^{anmsn} καί^{c} ὁ^{dnfs} ἐντολή^{nnfs} ἅγιος^{anfsn} καί^{c} δίκαιος^{anfsn} καί^{c} ἀγαθός^{anfsn}. **v.13** ὁ^{dnns} οὖν^{c} ἀγαθός^{annsn} ἐγώ$^{rpd-s}$ γίνομαι^{vixa3s} θάνατος^{nnms} μή^{xo} γίνομαι^{voad3s} ἀλλά^{c} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ἵνα^{c} φαίνω^{vsap3s} ἁμαρτία^{nnfs} διά^{p} ὁ^{dgns} ἀγαθός^{agnsn} ἐγώ$^{rpd-s}$ κατεργάζομαι^{vppnnfs} θάνατος^{nams} ἵνα^{c} γίνομαι^{vsad3s} κατά^{p} ὑπερβολή^{nafs} ἁμαρτωλός^{anfsn} ὁ^{dnfs} ἁμαρτία^{nnfs} διά^{p} ὁ^{dgfs} ἐντολή^{ngfs}. **v.14** οἶδα^{vixa1p} γάρ^{c} ὅτι^{c} ὁ^{dnms} νόμος^{nnms} πνευματικός^{anmsn} εἰμί^{vipx3s} ἐγώ$^{rpn-s}$ δέ^{c} σαρκικός^{anmsn} εἰμί^{vipx1s} πιπράσκω^{vpxpnms} ὑπό^{p} ὁ^{dafs} ἁμαρτία^{nafs}. **v.15** ὅς^{rrans} γάρ^{c} κατεργάζομαι^{vipn1s} οὐ^{xo} γινώσκω^{vipa1s} οὐ^{xo} γάρ^{c} ὅς^{rrans} θέλω^{vipa1s} οὗτος^{rdans} πράσσω^{vipa1s} ἀλλά^{c} ὅς^{rrans} μισέω^{vipa1s} οὗτος^{rdans} ποιέω^{vipa1s}. **v.16** εἰ^{qo} δέ^{c} ὅς^{rrans} οὐ^{xo} θέλω^{vipa1s} οὗτος^{rdans} ποιέω^{vipa1s} σύμφημι^{vipx1s} ὁ^{ddms} νόμος^{ndms} ὅτι^{c} καλός^{anmsn}. **v.17** νυνί^{bo} δέ^{c} οὐκέτι^{bo} ἐγώ$^{rpn-s}$ κατεργάζομαι^{vipn1s} αὐτός^{rpans} ἀλλά^{c} ὁ^{dnfs} οἰκέω^{vppanfs} ἐν^{p} ἐγώ$^{rpd-s}$ ἁμαρτία^{nnfs}. **v.18** οἶδα^{vixa1s} γάρ^{c} ὅτι^{c} οὐ^{xo} οἰκέω^{vipa3s} ἐν^{p} ἐγώ$^{rpd-s}$ εἰμί^{rdnns} ἐν^{p} ὁ^{ddfs} σάρξ^{ndfs} ἐγώ$^{rpg-s}$ ἀγαθός^{aansn} ὁ^{dnns} γάρ^{c} θέλω^{vnpa} παράκειμαι^{vipn3s} ἐγώ$^{rpd-s}$ ὁ^{dans} δέ^{c} κατεργάζομαι^{vnpn} ὁ^{dans} καλός^{aansn} οὐ^{xo} εὑρίσκω^{vipa1s}. **v.19** οὐ^{xo} γάρ^{c} ὅς^{rrans} θέλω^{vipa1s} ποιέω^{vipa1s} ἀγαθός^{aansn} ἀλλά^{c} ὅς^{rrans} οὐ^{xo} θέλω^{vipa1s} κακός^{aansn} οὗτος^{rdans} πράσσω^{vipa1s}.

οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν 21
ὅτι ἐμοὶ τὸ κακὸν παράκειται, συνήδομαι γὰρ τῷ νόμῳ τοῦ 22
θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς 23
μέλεσίν μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰ-
χμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσίν
μου. ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώμα- 24
τος τοῦ θανάτου τούτου. ἐυχάριστῶ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ 25
τοῦ κυρίου ἡμῶν ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοΐ δουλεύω νόμῳ
θεοῦ τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ **8**
σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ὁ γὰρ νόμος τοῦ 2
πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέν με ἀπὸ τοῦ
νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ 3
νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν
πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κα-
τέκρινεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. ἵνα τὸ δικαίωμα τοῦ νόμου 4
πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ
πνεῦμα. οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν 5
οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος. τὸ γὰρ φρόνημα τῆς 6
σαρκὸς θάνατος τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη,

---

v.20 εἰqo δέc ὅςrrans οὐxo θέλωvipa1s ἐγώrpn-s οὗτοςrdans ποιέωvipa1s οὐκέτιbo ἐγώrpn-s κατεργάζομαιvipn1s αὐτόςrpans ἀλλάc ὁdnfs οἰκέωvppanfs ἐνp ἐγώrpd-s ἁμαρτίαnnfs. **v.21** εὑρίσκωvipa1s ἄραxo ὁdams νόμοςnams ὁddms θέλωvppadms ἐγώrpd-s ποιέωvnpa ὁdans καλόςaansn ὅτιc ἐγώrpd-s ὁdnns κακόςannsn παράκειμαιvipn3s. **v.22** συνήδομαιvipn1s γάρc ὁddms νόμοςndms ὁdgms θεόςngms κατάp ὁdams ἔσωbo ἄνθρωποςnams. **v.23** βλέπωvipa1s δέc ἕτεροςaamsn νόμοςnams ἐνp ὁddnp μέλοςndnp ἐγώrpg-s ἀντιστρατεύωvppnams ὁddms νόμοςndms ὁdgms νοῦςngms ἐγώrpg-s καιc αἰχμαλωτίζωvppaams ἐγώrpa-s ὁddms νόμοςndms ὁdgfs ἁμαρτίαngfs ὁddms εἰμίvppxdms ἐνp ὁddnp μέλοςndnp ἐγώrpg-s. **v.24** ταλαίπωροςanmsn ἐγώrpn-s ἄνθρωποςnnms τίςrqnms ἐγώrpa-s ῥύομαιvifd3s ἐκp ὁdgns σῶμαngns ὁdgms θάνατοςngms οὗτοςrdgms. **v.25** εὐχαριστέωvipa1s ὁddms θεόςndms διάp Ἰησοῦςngms Χριστόςngms ὁdgms κύριοςngms ἐγώrpg-p ἄραxo οὖνc αὐτόςrpnms ἐγώrpn-s ὁddms μένxo νοῦςndms δουλεύωvipa1s νόμοςndms θεόςngms ὁddfs δέc σάρξndfs νόμοςndms ἁμαρτίαngfs. **8. v.1** οὐδείςannsn ἄραxo νῦνbo κατάκριμαnnns ὁddmp ἐνp Χριστόςndms Ἰησοῦςndms μήxo κατάp σάρξnafs περιπατέωvppadmp ἀλλάc κατάp πνεῦμαnans. **v.2** ὁdnms γάρc νόμοςnnms ὁdgns πνεῦμαngns ὁdgfs ζωήngfs ἐνp Χριστόςndms Ἰησοῦςndms ἐλευθερόωviaa3s ἐγώrpa-s ἀπόp ὁdgms νόμοςngms ὁdgfs ἁμαρτίαngfs καίc ὁdgms θάνατοςngms. **v.3** ὁdnns γάρc ἀδύνατοςannsn ὁdgms νόμοςngms ἐνp ὅςrrdns ἀσθενέωviia3s διάp ὁdgfs σάρξngfs ὁdnms θεόςnnms ὁdams ἑαυτοῦrxgms υἱόςnams πέμπωvpaanms ἐνp ὁμοίωμαndns σάρξngfs ἁμαρτίαngfs καίc περίp ἁμαρτίαngfs κατακρίνωviaa3s ὁdafs ἁμαρτίαnafs ἐνp ὁddfs σάρξndfs. **v.4** ἵναc ὁdans δικαίωμαnans ὁdgms νόμοςngms πληρόωvsap3s ἐνp ἐγώrpd-p ὁddmp μήxo κατάp σάρξnafs περιπατέωvppadmp ἀλλάc κατάp πνεῦμαnans. **v.5** ὁdnmp γάρc κατάp σάρξnafs εἰμίvppxnmp ὁdanp ὁdgfs σάρξngfs φρονέωvipa3p ὁdnmp δέc κατάp πνεῦμαnans ὁdanp ὁdgns πνεῦμαngns. **v.6** ὁdnns γάρc φρόνημαnnns ὁdgfs σάρξngfs θάνατοςnnms ὁdnns δέc φρόνημαnnns ὁdgns πνεῦμαngns ζωήnnfs καιc εἰρήνηnnfs.

διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται οὐδὲ γὰρ δύναται, οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν τὸ μὲν σῶμα νεκρὸν δι᾽ ἁμαρτίαν τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζῳοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν. Ἄρα οὖν ἀδελφοί ὀφειλέται ἐσμέν οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν. εἰ γὰρ κατὰ σάρκα ζῆτε μέλλετε ἀποθνῄσκειν, εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε ζήσεσθε. ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται οὗτοι εἰσιν υἱοὶ θεοῦ. οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον ἀλ᾽λ ἐλάβετε πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζομεν Αββα ὁ πατήρ. αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα θεοῦ. εἰ δὲ τέκνα καὶ κληρονόμοι, κληρονόμοι μὲν θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ εἴπερ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχε-

---

v.7 διότι[c] ὁ[dnns] φρόνημα[nnns] ὁ[dgfs] σάρξ[ngfs] ἔχθρα[nnfs] εἰς[p] θεός[nams] ὁ[ddms] γάρ[c] νόμος[ndms] ὁ[dgms] θεός[ngms] οὐ[xo] ὑποτάσσω[vipp3s] οὐδέ[bo] γάρ[c] δύναμαι[vipn3s]. **v.8** ὁ[dnmp] δέ[c] ἐν[p] σάρξ[ndfs] εἰμί[vppxnmp] θεός[ndms] ἀρέσκω[vnaa] οὐ[xo] δύναμαι[vipn3p]. **v.9** σύ[rpn-p] δέ[c] οὐ[xo] εἰμί[vipx2p] ἐν[p] σάρξ[ndfs] ἀλλά[c] ἐν[p] πνεῦμα[ndns] εἴπερ[qo] πνεῦμα[nnns] θεός[ngms] οἰκέω[vipa3s] ἐν[p] σύ[rpd-p] εἰ[qo] δέ[c] τι-σρινμσ πνεῦμα[nans] Χριστός[ngms] οὐ[xo] ἔχω[vipa3s] οὗτος[rdnms] οὐ[xo] εἰμί[vipx3s] αὐτός[rpgms]. **v.10** εἰ[qo] δέ[c] Χριστός[nnms] ἐν[p] σύ[rpd-p] ὁ[dnns] μέν[xo] σῶμα[nnns] νεκρός[annsn] διά[p] ἁμαρτία[nafs] ὁ[dnns] δέ[c] πνεῦμα[nnns] ζωή[nnfs] διά[p] δικαιοσύνη[nafs]. **v.11** εἰ[qo] δέ[c] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgms] ἐγείρω[vpaagms] Ἰησοῦς[nams] ἐκ[p] νεκρός[agmpn] οἰκέω[vipa3s] ἐν[p] σύ[rpd-p] ὁ[dnms] ἐγείρω[vpaanms] ὁ[dams] Χριστός[nams] ἐκ[p] νεκρός[agmpn] ζῳοποιέω[vifa3s] καί[c] ὁ[danp] θνητός[aanpn] σῶμα[nanp] σύ[rpg-p] διά[p] ὁ[dans] ἐνοικέω[vppaans] αὐτός[rpgms] πνεῦμα[nans] ἐν[p] σύ[rpd-p]. **v.12** ἄρα[xo] οὖν[c] ἀδελφός[nvmp] ὀφειλέτης[nnmp] εἰμί[vipx1p] οὐ[xo] ὁ[ddfs] σάρξ[ndfs] ὁ[dgms] κατά[p] σάρξ[nafs] ζάω[vnpa]. **v.13** εἰ[qo] γάρ[c] κατά[p] σάρξ[nafs] ζάω[vipa2p] μέλλω[vipa2p] ἀποθνῄσκω[vnpa] εἰ[qo] δέ[c] πνεῦμα[ndns] ὁ[dafp] πρᾶξις[nafp] ὁ[dgns] σῶμα[ngns] θανατόω[vipa2p] ζάω[vifd2p]. **v.14** ὅσος[rcnmp] γάρ[c] πνεῦμα[ndns] θεός[ngms] ἄγω[vipp3p] οὗτος[rdnmp] εἰμί[vipx3p] υἱός[nnmp] θεός[ngms]. **v.15** οὐ[xo] γάρ[c] λαμβάνω[viaa2p] πνεῦμα[nans] δουλεία[ngfs] πάλιν[bo] εἰς[p] φόβος[nams] ἀλλά[c] λαμβάνω[viaa2p] πνεῦμα[nans] υἱοθεσία[ngfs] ἐν[p] ὅς[rrdns] κράζω[vipa1p] ἀββᾶ[tp] ὁ[dnms] πατήρ[nnms]. **v.16** αὐτός[rpnns] ὁ[dnns] πνεῦμα[nnns] συμμαρτυρέω[vipa3s] ὁ[ddns] πνεῦμα[ndns] ἐγώ[rpg-p] ὅτι[c] εἰμί[vipx1p] τέκνον[nnnp] θεός[ngms]. **v.17** εἰ[qo] δέ[c] τέκνον[nnnp] καί[c] κληρονόμος[nnmp] κληρονόμος[nnmp] μέν[xo] θεός[ngms] συγκληρονόμος[anmpn] δέ[c] Χριστός[ngms] εἴπερ[qo] συμπάσχω[vipa1p] ἵνα[c] καί[c] συνδοξάζω[vsap1p]. **v.18** λογίζομαι[vipn1s] γάρ[c] ὅτι[c] οὐ[xo] ἄξιος[annpn] ὁ[dnnp] πάθημα[nnnp] ὁ[dgms] νῦν[bo] καιρός[ngms] πρός[p] ὁ[dafs] μέλλω[vppaafs] δόξα[nafs] ἀποκαλύπτω[vnap] εἰς[p] ἐγώ[rpa-p].

ται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα ἀλλὰ διὰ 20
τὸν ὑποτάξαντα ἐπ᾽ ἐλπίδι. ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερω- 21
θήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς
δόξης τῶν τέκνων τοῦ θεοῦ. οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις 22
συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν, οὐ μόνον δέ ἀλλὰ καὶ 23
αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες καὶ ἡμεῖς αὐτοὶ ἐν
ἑαυτοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν
τοῦ σώματος ἡμῶν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπο- 24
μένη οὐκ ἔστιν ἐλπίς, ὃ γὰρ βλέπει τίς τί καὶ ἐλπίζει. εἰ δὲ ὃ 25
οὐ βλέπομεν ἐλπίζομεν δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα. Ὡσαύ- 26
τως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν,
τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ οὐκ οἴδαμεν ἀλ᾽λ αὐτὸ τὸ
πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις, ὁ 27
δὲ ἐρευνῶν τὰς καρδίας οἶδεν τί τὸ φρόνημα τοῦ πνεύματος ὅτι
κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. οἴδαμεν δὲ ὅτι τοῖς ἀγα- 28
πῶσιν τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν τοῖς κατὰ πρόθεσιν
κλητοῖς οὖσιν. ὅτι οὓς προέγνω καὶ προώρισεν συμμόρφους 29
τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν
πολλοῖς ἀδελφοῖς, οὓς δὲ προώρισεν τούτους καὶ ἐκάλεσεν, 30
καὶ οὓς ἐκάλεσεν τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσεν
τούτους καὶ ἐδόξασεν. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα εἰ ὁ θεὸς 31

---

v.19 ὁ^{dnfs} γάρ^{c} ἀποκαραδοκία^{nnfs} ὁ^{dgfs} κτίσις^{ngfs} ὁ^{dafs} ἀποκάλυψις^{nafs} ὁ^{dgmp} υἱός^{ngmp} ὁ^{dgms} θεός^{ngms} ἀπεκδέχομαι^{vipn3s}. **v.20** ὁ^{ddfs} γάρ^{c} ματαιότης^{ndfs} ὁ^{dnfs} κτίσις^{nnfs} ὑποτάσσω^{viap3s} οὐ^{xo} ἑκών^{anfsn} ἀλλά^{c} διά^{p} ὁ^{dams} ὑποτάσσω^{vpaaams} ἐπί^{p} ἐλπίς^{ndfs}. **v.21** ὅτι^{c} καί^{c} αὐτός^{rpnfs} ὁ^{dnfs} κτίσις^{nnfs} ἐλευθερόω^{vifp3s} ἀπό^{p} ὁ^{dgfs} δουλεία^{ngfs} ὁ^{dgfs} φθορά^{ngfs} εἰς^{p} ὁ^{dafs} ἐλευθερία^{nafs} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgnp} τέκνον^{ngnp} ὁ^{dgms} θεός^{ngms}. **v.22** οἶδα^{vixa1p} γάρ^{c} ὅτι^{c} πᾶς^{anfsn} ὁ^{dnfs} κτίσις^{nnfs} συστενάζω^{vipa3s} καί^{c} συνωδίνω^{vipa3s} ἄχρι^{p} ὁ^{dgms} νῦν^{bo}. **v.23** οὐ^{xo} μόνος^{bo} δέ^{c} ἀλλά^{c} καί^{c} αὐτός^{rpnmp} ὁ^{dafs} ἀπαρχή^{nafs} ὁ^{dgns} πνεῦμα^{ngns} ἔχω^{vppanmp} καί^{c} ἐγώ$^{rpn-p}$ αὐτός^{rpnmp} ἐν^{p} ἑαυτοῦ^{rxdmp} στενάζω^{vipa1p} υἱοθεσία^{nafs} ἀπεκδέχομαι^{vppnnmp} ὁ^{dafs} ἀπολύτρωσις^{nafs} ὁ^{dgns} σῶμα^{ngns} ἐγώ$^{rpg-p}$. **v.24** ὁ^{ddfs} γάρ^{c} ἐλπίς^{ndfs} σῴζω^{viap1p} ἐλπίς^{nnfs} δέ^{c} βλέπω^{vpppnfs} οὐ^{xo} εἰμί^{vipx3s} ἐλπίς^{nnfs} ὅς^{rrans} γάρ^{c} βλέπω^{vipa3s} τίς^{rinms} τίς^{rqans} καί^{c} ἐλπίζω^{vipa3s}. **v.25** εἰ^{qo} δέ^{c} ὅς^{rrans} οὐ^{xo} βλέπω^{vipa1p} ἐλπίζω^{vipa1p} διά^{p} ὑπομονή^{ngfs} ἀπεκδέχομαι^{vipn1p}. **v.26** ὡσαύτως^{bo} δέ^{c} καί^{c} ὁ^{dnns} πνεῦμα^{nnns} συναντιλαμβάνομαι^{vipn3s} ὁ^{ddfp} ἀσθένεια^{ndfp} ἐγώ$^{rpg-p}$ ὁ^{dans} γάρ^{c} τίς^{rqans} προσεύχομαι^{vsad1p} καθό^{bo} δεῖ^{vipq3s} οὐ^{xo} οἶδα^{vixa1p} ἀλλά^{c} αὐτός^{rpnns} ὁ^{dnns} πνεῦμα^{nnns} ὑπερεντυγχάνω^{vipa3s} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ στεναγμός^{ndmp} ἀλάλητος^{admpn}. **v.27** ὁ^{dnms} δέ^{c} ἐραυνάω^{vppanms} ὁ^{dafp} καρδία^{nafp} οἶδα^{vixa3s} τίς^{rqnns} ὁ^{dnns} φρόνημα^{nnns} ὁ^{dgns} πνεῦμα^{ngns} ὅτι^{c} κατά^{p} θεός^{nams} ἐντυγχάνω^{vipa3s} ὑπέρ^{p} ἅγιος^{agmpn}. **v.28** οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} ὁ^{ddmp} ἀγαπάω^{vppadmp} ὁ^{dams} θεός^{nams} πᾶς^{annpn} συνεργέω^{vipa3s} εἰς^{p} ἀγαθός^{aansn} ὁ^{ddmp} κατά^{p} πρόθεσις^{nafs} κλητός^{admpn} εἰμί^{vppxdmp}. **v.29** ὅτι^{c} ὅς^{rramp} προγινώσκω^{viaa3s} καί^{c} προορίζω^{viaa3s} σύμμορφος^{aampn} ὁ^{dgfs} εἰκών^{ngfs} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} αὐτός^{rpams} πρωτότοκος^{aamsn} ἐν^{p} πολύς^{admpn} ἀδελφός^{ndmp}. **v.30** ὅς^{rramp} δέ^{c} προορίζω^{viaa3s} οὗτος^{rdamp} καί^{c} καλέω^{viaa3s} καί^{c} ὅς^{rramp} καλέω^{viaa3s} οὗτος^{rdamp} καί^{c} δικαιόω^{viaa3s} ὅς^{rramp} δέ^{c} δικαιόω^{viaa3s} οὗτος^{rdamp} καί^{c} δοξάζω^{viaa3s}.

32 ὑπὲρ ἡμῶν τίς καθ ἡμῶν. ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο
ἀλ᾽λ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν πῶς οὐχὶ καὶ σὺν
33 αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται. τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν
34 θεοῦ θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρινῶν Χριστὸς ὁ ἀποθανών
μᾶλλον δὲ καί ἐγερθείς ὃς καὶ ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ ὃς καὶ
35 ἐντυγχάνει ὑπὲρ ἡμῶν. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ
Χριστοῦ θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης
36 ἢ κίνδυνος ἢ μάχαιρα. καθὼς γέγραπται ὅτι Ἕνεκά σοῦ θα-
νατούμεθα ὅλην τὴν ἡμέραν ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.
37 ἀλλ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.
38 πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρ-
39 χαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα. οὔτε ὕψωμα
οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ
τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

9 Ἀλήθειαν λέγω ἐν Χριστῷ οὐ ψεύδομαι συμμαρτυρούσης
2 μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ. ὅτι λύπη μοί ἐστιν
3 μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. ηὐχόμην γὰρ
αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν
4 μου τῶν συγγενῶν μου κατὰ σάρκα. οἵτινές εἰσιν Ἰσραηλῖται
ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ
5 ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι. ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς

---

v.31 τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} πρός^{p} οὗτος^{rdanp} εἰ^{qo} ὁ^{dnms} θεός^{nnms} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ τίς^{rqnms} κατά^{p} ἐγώ$^{rpg-p}$. **v.32** ὅς^{rrnms} γε^{xo} ὁ^{dgms} ἴδιος^{agmsn} υἱός^{ngms} οὐ^{xo} φείδομαι^{viad3s} ἀλλά^{c} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ πᾶς^{agmpn} παραδίδωμι^{viaa3s} αὐτός^{rpams} πῶς^{bo} οὐχί^{xo} καί^{c} σύν^{p} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} ἐγώ$^{rpd-p}$ χαρίζομαι^{vifd3s}. **v.33** τίς^{rqnms} ἐγκαλέω^{vifa3s} κατά^{p} ἐκλεκτός^{agmpn} θεός^{ngms} θεός^{nnms} ὁ^{dnms} δικαιόω^{vppanms}. **v.34** τίς^{rqnms} ὁ^{dnms} κατακρίνω^{vppanms} Χριστός^{nnms} ὁ^{dnms} ἀποθνῄσκω^{vpaanms} μᾶλλον^{bo} δέ^{c} καί^{c} ἐγείρω^{vpapnms} ὅς^{rrnms} καί^{c} εἰμί^{vipx3s} ἐν^{p} δεξιός^{adfsn} ὁ^{dgms} θεός^{ngms} ὅς^{rrnms} καί^{c} ἐντυγχάνω^{vipa3s} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$. **v.35** τίς^{rqnms} ἐγώ$^{rpa-p}$ χωρίζω^{vifa3s} ἀπό^{p} ὁ^{dgfs} ἀγάπη^{ngfs} ὁ^{dgms} Χριστός^{ngms} θλῖψις^{nnfs} ἤ^{xo} στενοχωρία^{nnfs} ἤ^{xo} διωγμός^{nnms} ἤ^{xo} λιμός^{nnms} ἤ^{xo} γυμνότης^{nnfs} ἤ^{xo} κίνδυνος^{nnms} ἤ^{xo} μάχαιρα^{nnfs}. **v.36** καθώς^{bo} γράφω^{vixp3s} ὅτι^{c} ἕνεκα^{bo} σύ$^{rpg-s}$ θανατόω^{vipp1p} ὅλος^{aafsn} ὁ^{dafs} ἡμέρα^{nafs} λογίζομαι^{viap1p} ὡς^{bo} πρόβατον^{nnnp} σφαγή^{ngfs}. **v.37** ἀλλά^{c} ἐν^{p} οὗτος^{rddnp} πᾶς^{adnpn} ὑπερνικάω^{vipa1p} διά^{p} ὁ^{dgms} ἀγαπάω^{vpaagms} ἐγώ$^{rpa-p}$. **v.38** πείθω^{vixp1s} γάρ^{c} ὅτι^{c} οὔτε^{c} θάνατος^{nnms} οὔτε^{c} ζωή^{nnfs} οὔτε^{c} ἄγγελος^{nnmp} οὔτε^{c} ἀρχή^{nnfp} οὔτε^{c} δύναμις^{nnfp} οὔτε^{c} ἐνίστημι^{vpxannp} οὔτε^{c} μέλλω^{vppannp}. **v.39** οὔτε^{c} ὕψωμα^{nnns} οὔτε^{c} βάθος^{nnns} οὔτε^{c} τι-σρινφσ κτίσις^{nnfs} ἕτερος^{anfsn} δύναμαι^{vifd3s} ἐγώ$^{rpa-p}$ χωρίζω^{vnaa} ἀπό^{p} ὁ^{dgfs} ἀγάπη^{ngfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-p}$. **9. v.1** ἀλήθεια^{nafs} λέγω^{vipa1s} ἐν^{p} Χριστός^{ndms} οὐ^{xo} ψεύδομαι^{vipn1s} συμμαρτυρέω^{vppagfs} ἐγώ$^{rpd-s}$ ὁ^{dgfs} συνείδησις^{ngfs} ἐγώ$^{rpg-s}$ ἐν^{p} πνεῦμα^{ndns} ἅγιος^{adnsn}. **v.2** ὅτι^{c} λύπη^{nnfs} ἐγώ$^{rpd-s}$ εἰμί^{vipx3s} μέγας^{anfsn} καί^{c} ἀδιάλειπτος^{anfsn} ὀδύνη^{nnfs} ὁ^{ddfs} καρδία^{ndfs} ἐγώ$^{rpg-s}$. **v.3** εὔχομαι^{viin1s} γάρ^{c} αὐτός^{rpnms} ἐγώ$^{rpn-s}$ ἀνάθεμα^{nnns} εἰμί^{vnpx} ἀπό^{p} ὁ^{dgms} Χριστός^{ngms} ὑπέρ^{p} ὁ^{dgmp} ἀδελφός^{ngmp} ἐγώ$^{rpg-s}$ ὁ^{dgmp} συγγενής^{agmpn} ἐγώ$^{rpg-s}$ κατά^{p} σάρξ^{nafs}. **v.4** ὅστις^{rrnmp} εἰμί^{vipx3p} Ἰσραηλίτης^{nnmp} ὅς^{rrgmp} ὁ^{dnfs} υἱοθεσία^{nnfs} καί^{c} ὁ^{dnfs} δόξα^{nnfs} καί^{c} ὁ^{dnfp} διαθήκη^{nnfp} καί^{c} ὁ^{dnfs} νομοθεσία^{nnfs} καί^{c} ὁ^{dnfs} λατρεία^{nnfs} καί^{c} ὁ^{dnfp} ἐπαγγελία^{nnfp}.

τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶ- 6
νας ἀμήν. Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ οὐ
γὰρ πάντες οἱ ἐξ Ἰσραήλ οὗτοι Ἰσραήλ, οὐδ ὅτι εἰσὶν σπέρμα 7
Ἀβραάμ πάντες τέκνα ἀλ᾽λ Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.
τοῦτ᾽ἔστιν οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ θεοῦ ἀλλὰ 8
τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. ἐπαγγελίας 9
γὰρ ὁ λόγος οὗτος Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται
τῇ Σάρρᾳ υἱός. οὐ μόνον δέ ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην 10
ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν, μήπω γὰρ γεννηθέντων μη- 11
δὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ ἐκλογὴν τοῦ θεοῦ
πρόθεσις μένῃ οὐκ ἐξ ἔργων ἀλλ᾽ ἐκ τοῦ καλοῦντος. ἐρρήθη 12
αὐτῇ ὅτι Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. καθὼς γέγραπται 13
Τὸν Ἰακὼβ ἠγάπησα τὸν δὲ Ἠσαῦ ἐμίσησα. Τί οὖν ἐροῦμεν 14
μὴ ἀδικία παρὰ τῷ θεῷ μὴ γένοιτο, τῷ γὰρ Μωσῇ λέγει Ἐ- 15
λεήσω ὃν ἂν ἐλεῶ καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ἄρα οὖν 16
οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ.
λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ ὅτι Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε 17
ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου καὶ ὅπως διαγγελῇ
τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. ἄρα οὖν ὃν θέλει ἐλεεῖ ὃν δὲ 18
θέλει σκληρύνει. Ἐρεῖς οὖν μοι Τί ἔτι μέμφεται τῷ γὰρ βου- 19

---

v.5 ὅς^{rrgmp} ὁ^{dnmp} πατήρ^{nnmp} καί^{c} ἐκ^{p} ὅς^{rrgmp} ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnns} κατά^{p} σάρξ^{nafs} ὁ^{dnms} εἰμί^{vppxnms} ἐπί^{p} πᾶς^{agnpn} θεός^{nnms} εὐλογητός^{anmsn} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ἀμήνth. **v.6** οὐ^{xo} οἷος^{rcnns} δέ^{c} ὅτι^{c} ἐκπίπτω^{vixa3s} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} οὐ^{xo} γάρ^{c} πᾶς^{anmpn} ὁ^{dnmp} ἐκ^{p} Ἰσραήλ^{tp} οὗτος^{rdnmp} Ἰσραήλ^{tp}. **v.7** οὐδέ^{bo} ὅτι^{c} εἰμί^{vipx3p} σπέρμα^{nnns} Ἀβραάμ^{tp} πᾶς^{anmpn} τέκνον^{nnnp} ἀλλά^{c} ἐν^{p} Ἰσαάκ^{tp} καλέω^{vifp3s} σύ$^{rpd-s}$ σπέρμα^{nnns}. **v.8** εἰμί^{rdnns} οὐ^{xo} ὁ^{dnnp} τέκνον^{nnnp} ὁ^{dgfs} σάρξ^{ngfs} οὗτος^{rdnnp} τέκνον^{nnnp} ὁ^{dgms} θεός^{ngms} ἀλλά^{c} ὁ^{dnnp} τέκνον^{nnnp} ὁ^{dgfs} ἐπαγγελία^{ngfs} λογίζομαι^{vipn3s} εἰς^{p} σπέρμα^{nans}. **v.9** ἐπαγγελία^{ngfs} γάρ^{c} ὁ^{dnms} λόγος^{nnms} οὗτος^{rdnms} κατά^{p} ὁ^{dams} καιρός^{nams} οὗτος^{rdams} ἔρχομαι^{vifd1s} καί^{c} εἰμί^{vifx3s} ὁ^{ddfs} Σάρρα^{ndfs} υἱός^{nnms}. **v.10** οὐ^{xo} μόνος^{bo} δέ^{c} ἀλλά^{c} καί^{c} Ῥεβέκκα^{nnfs} ἐκ^{p} εἷς^{ngms} κοίτη^{nafs} ἔχω^{vppanfs} Ἰσαάκ^{tp} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$. **v.11** μήπω^{bo} γάρ^{c} γεννάω^{vpapgmp} μηδέ^{c} πράσσω^{vpaagmp} τι-σριανσ ἀγαθός^{aansn} ἤ^{xo} κακός^{aansn} ἵνα^{c} ὁ^{dnfs} κατά^{p} ἐκλογή^{nafs} ὁ^{dgms} θεός^{ngms} πρόθεσις^{nnfs} μένω^{vspa3s} οὐ^{xo} ἐκ^{p} ἔργον^{ngnp} ἀλλά^{c} ἐκ^{p} ὁ^{dgms} καλέω^{vppagms}. **v.12** ῥέω^{viap3s} αὐτός^{rpdfs} ὅτι^{c} ὁ^{dnms} μέγας^{anmsc} δουλεύω^{vifa3s} ὁ^{ddms} ἐλάσσων^{admsn}. **v.13** καθώς^{bo} γράφω^{vixp3s} ὁ^{dams} Ἰακώβ^{tp} ἀγαπάω^{viaa1s} ὁ^{dams} δέ^{c} Ἠσαῦ^{tp} μισέω^{viaa1s}. **v.14** τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} μή^{xo} ἀδικία^{nnfs} παρά^{p} ὁ^{ddms} θεός^{ndms} μή^{xo} γίνομαι^{voad3s}. **v.15** ὁ^{ddms} γάρ^{c} Μωϋσῆς^{ndms} λέγω^{vipa3s} ἐλεέω^{vifa1s} ὅς^{rrams} ἄν^{xo} ἐλεέω^{vspa1s} καί^{c} οἰκτίρω^{vifa1s} ὅς^{rrams} ἄν^{xo} οἰκτίρω^{vspa1s}. **v.16** ἄρα^{xo} οὖν^{c} οὐ^{xo} ὁ^{dgms} θέλω^{vppagms} οὐδέ^{bo} ὁ^{dgms} τρέχω^{vppagms} ἀλλά^{c} ὁ^{dgms} ἐλεέω^{vppagms} θεός^{ngms}. **v.17** λέγω^{vipa3s} γάρ^{c} ὁ^{dnfs} γραφή^{nnfs} ὁ^{ddms} Φαραώ^{tp} ὅτι^{c} εἰς^{p} αὐτός^{rpans} οὗτος^{rdans} ἐξεγείρω^{viaa1s} σύ$^{rpa-s}$ ὅπως^{bo} ἐνδείκνυμι^{vsam1s} ἐν^{p} σύ$^{rpd-s}$ ὁ^{dafs} δύναμις^{nafs} ἐγώ$^{rpg-s}$ καί^{c} ὅπως^{bo} διαγγέλλω^{vsap3s} ὁ^{dnns} ὄνομα^{nnns} ἐγώ$^{rpg-s}$ ἐν^{p} πᾶς^{adfsn} ὁ^{ddfs} γῆ^{ndfs}. **v.18** ἄρα^{xo} οὖν^{c} ὅς^{rrams} θέλω^{vipa3s} ἐλεέω^{vipa3s} ὅς^{rrams} δέ^{c} θέλω^{vipa3s} σκληρύνω^{vipa3s}.

20 λήματι αὐτοῦ τίς ἀνθέστηκεν. μενοῦνγε ὦ ἄνθρωπε σὺ τίς εἶ
ὁ ἀνταποκρινόμενος τῷ θεῷ μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι Τί
21 με ἐποίησας οὕτως. ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πη-
λοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος
22 ὃ δὲ εἰς ἀτιμίαν. εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργὴν
καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ
23 σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν. καὶ ἵνα γνωρίσῃ τὸν
πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους ἃ προητοίμασεν εἰς
24 δόξαν. οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων ἀλλὰ καὶ
25 ἐξ ἐθνῶν. ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει Καλέσω τὸν οὐ λαόν μου
26 λαόν μου καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην, καὶ ἔσται
ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς Οὐ λαός μου ὑμεῖς ἐκεῖ κληθή-
27 σονται υἱοὶ θεοῦ ζῶντος. Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ
Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης
28 τὸ κατάλειμμα σωθήσεται, λόγον γὰρ συντελῶν καὶ συντέμνων
ἐν δικαιοσυνῇ ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς
29 γῆς. καὶ καθὼς προείρηκεν Ἡσαΐας Εἰ μὴ κύριος Σαβαὼθ
ἐγκατέλιπεν ἡμῖν σπέρμα ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς
30 Γόμορρα ἂν ὡμοιώθημεν. Τί οὖν ἐροῦμεν ὅτι ἔθνη τὰ μὴ διώ-
κοντα δικαιοσύνην κατέλαβεν δικαιοσύνην δικαιοσύνην δὲ τὴν
31 ἐκ πίστεως. Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης εἰς νόμον

---

v.19 λέγω^{vifa2s} οὖν^{c} ἐγώ$^{rpd-s}$ τίς^{rqans} ἔτι^{bo} μέμφομαι^{vipn3s} ὁ^{ddns} γάρ^{c} βούλημα^{ndns} αὐτός^{rpgms} τίς^{rqnms} ἀνθίστημι^{vixa3s}. **v.20** μενοῦνγε^{xo} ὦ^{i} ἄνθρωπος^{nvms} σύ$^{rpn-s}$ τίς^{rqnms} εἰμί^{vipx2s} ὁ^{dnms} ἀνταποκρίνομαι^{vppnnms} ὁ^{ddms} θεός^{ndms} μή^{xo} λέγω^{vifa3s} ὁ^{dnns} πλάσμα^{nnns} ὁ^{ddms} πλάσσω^{vpaadms} τίς^{rqans} ἐγώ$^{rpa-s}$ ποιέω^{viaa2s} οὕτω^{bo}. **v.21** ἤ^{xo} οὐ^{xo} ἔχω^{vipa3s} ἐξουσία^{nafs} ὁ^{dnms} κεραμεύς^{nnms} ὁ^{dgms} πηλός^{ngms} ἐκ^{p} ὁ^{dgns} αὐτός^{rpgns} φύραμα^{ngns} ποιέω^{vnaa} ὃς^{rrans} μέν^{xo} εἰς^{p} τιμή^{nafs} σκεῦος^{nans} ὃς^{rrans} δέ^{c} εἰς^{p} ἀτιμία^{nafs}. **v.22** εἰ^{qo} δέ^{c} θέλω^{vppanms} ὁ^{dnms} θεός^{nnms} ἐνδείκνυμι^{vnam} ὁ^{dafs} ὀργή^{nafs} καί^{c} γνωρίζω^{vnaa} ὁ^{dans} δυνατός^{aansn} αὐτός^{rpgms} φέρω^{viaa3s} ἐν^{p} πολύς^{adfsn} μακροθυμία^{ndfs} σκεῦος^{nanp} ὀργή^{ngfs} καταρτίζω^{vpxpanp} εἰς^{p} ἀπώλεια^{nafs}. **v.23** καί^{c} ἵνα^{c} γνωρίζω^{vsaa3s} ὁ^{dams} πλοῦτος^{nams} ὁ^{dgfs} δόξα^{ngfs} αὐτός^{rpgms} ἐπί^{p} σκεῦος^{nanp} ἔλεος^{ngns} ὅς^{rranp} προετοιμάζω^{viaa3s} εἰς^{p} δόξα^{nafs}. **v.24** ὅς^{rramp} καί^{c} καλέω^{viaa3s} ἐγώ$^{rpa-p}$ οὐ^{xo} μόνος^{bo} ἐκ^{p} Ἰουδαῖος^{agmpn} ἀλλά^{c} καί^{c} ἐκ^{p} ἔθνος^{ngnp}. **v.25** ὡς^{bo} καί^{c} ἐν^{p} ὁ^{ddms} Ὡσηέ^{tp} λέγω^{vipa3s} καλέω^{vifa1s} ὁ^{dams} οὐ^{xo} λαός^{nams} ἐγώ$^{rpg-s}$ λαός^{nams} ἐγώ$^{rpg-s}$ καί^{c} ὁ^{dafs} οὐ^{xo} ἀγαπάω^{vpxpafs} ἀγαπάω^{vpxpafs}. **v.26** καί^{c} εἰμί^{vifx3s} ἐν^{p} ὁ^{ddms} τόπος^{ndms} ὅς^{rrgms} ῥέω^{viap3s} αὐτός^{rpdmp} οὐ^{xo} λαός^{nnms} ἐγώ$^{rpg-s}$ σύ$^{rpn-p}$ ἐκεῖ^{bo} καλέω^{vifp3p} υἱός^{nnmp} θεός^{ngms} ζάω^{vppagms}. **v.27** Ἡσαΐας^{nnms} δέ^{c} κράζω^{vipa3s} ὑπέρ^{p} ὁ^{dgms} Ἰσραήλ^{tp} ἐάν^{qo} εἰμί^{vspx3s} ὁ^{dnms} ἀριθμός^{nnms} ὁ^{dgmp} υἱός^{ngmp} Ἰσραήλ^{tp} ὡς^{bo} ὁ^{dnfs} ἄμμος^{nnfs} ὁ^{dgfs} θάλασσα^{ngfs} ὁ^{dnns} κατάλειμμα^{nnns} σῴζω^{vifp3s}. **v.28** λόγος^{nams} γάρ^{c} συντελέω^{vppanms} καί^{c} συντέμνω^{vppanms} ἐν^{p} δικαιοσύνη^{ndfs} ὅτι^{c} λόγος^{nams} συντέμνω^{vpxpams} ποιέω^{vifa3s} κύριος^{nnms} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.29** καί^{c} καθώς^{bo} προλέγω^{vixa3s} Ἡσαΐας^{nnms} εἰ^{qo} μή^{xo} κύριος^{nnms} Σαβαώθth ἐγκαταλείπω^{viaa3s} ἐγώ$^{rpd-p}$ σπέρμα^{nans} ὡς^{bo} Σόδομα^{nnnp} ἄν^{xo} γίνομαι^{viao1p} καί^{c} ὡς^{bo} Γόμορρα^{nnfs} ἄν^{xo} ὁμοιόω^{viap1p}. **v.30** τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} ὅτι^{c} ἔθνος^{nnnp} ὁ^{dnnp} μή^{xo} διώκω^{vppannp} δικαιοσύνη^{nafs} καταλαμβάνω^{viaa3s} δικαιοσύνη^{nafs} δικαιοσύνη^{nafs} δέ^{c} ὁ^{dafs} ἐκ^{p} πίστις^{ngfs}.

δικαιοσύνης, οὐκ ἔφθασεν. διατί· ὅτι οὐκ ἐκ πίστεως, ἀλλ ὡς 32
ἐξ ἔργων νόμου, προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος,
καθὼς γέγραπται Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ 33
πέτραν σκανδάλου καὶ πᾶς ὁ πιστεύων ἐπ αὐτῷ οὐ καταισχυν-
θήσεται.

Ἀδελφοί ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ **10**
πρὸς τὸν θεὸν ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν. μαρτυ- 2
ρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν ἀλλ οὐ κατ ἐπίγνωσιν,
ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν δι- 3
καιοσύνην ζητοῦντες στῆσαι τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπε-
τάγησαν, τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ 4
πιστεύοντι. Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ 5
νόμου ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς. ἡ δὲ 6
ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου
Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν τοῦτ ἔστιν Χριστὸν καταγαγεῖν,
ἢ Τίς καταβήσεται εἰς τὴν ἄβυσσον τοῦτ ἔστιν Χριστὸν ἐκ νε- 7
κρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν 8
τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου τοῦτ ἔστιν τὸ ῥῆμα τῆς
πίστεως ὃ κηρύσσομεν. ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί 9
σου κύριον Ἰησοῦν καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς
αὐτὸν ἤγειρεν ἐκ νεκρῶν σωθήσῃ, καρδίᾳ γὰρ πιστεύεται εἰς 10

---

v.31 Ἰσραὴλ^{tp} δέ^{c} διώκω^{vppanms} νόμος^{nams} δικαιοσύνη^{ngfs} εἰς^{p} νόμος^{nams} δικαιοσύνη^{ngfs} οὐ^{xo} φθάνω^{viaa3s}. **v.32** διά&τίς^{xo} ὅτι^{c} οὐ^{xo} ἐκ^{p} πίστις^{ngfs} ἀλλά^{c} ὡς^{bo} ἐκ^{p} ἔργον^{ngnp} νόμος^{ngms} προσκόπτω^{viaa3p} γάρ^{c} ὁ^{ddms} λίθος^{ndms} ὁ^{dgns} πρόσκομμα^{ngns}. **v.33** καθώς^{bo} γράφω^{vixp3s} ἰδού^{vdaa2s} τίθημι^{vipa1s} ἐν^{p} Σιών^{tp} λίθος^{nams} πρόσκομμα^{ngns} καί^{c} πέτρα^{nafs} σκάνδαλον^{ngns} καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} ἐπί^{p} αὐτός^{rpdms} οὐ^{xo} καταισχύνω^{vifp3s}. **10. v.1** ἀδελφός^{nvmp} ὁ^{dnfs} μέν^{xo} εὐδοκία^{nnfs} ὁ^{dgfs} ἐμός^{rsgfs} καρδία^{ngfs} καί^{c} ὁ^{dnfs} δέησις^{nnfs} ὁ^{dnfs} πρός^{p} ὁ^{dams} θεός^{nams} ὑπέρ^{p} ὁ^{dgms} Ἰσραὴλ^{tp} εἰμί^{vipx3s} εἰς^{p} σωτηρία^{nafs}. **v.2** μαρτυρέω^{vipa1s} γάρ^{c} αὐτός^{rpdmp} ὅτι^{c} ζῆλος^{nams} θεός^{ngms} ἔχω^{vipa3p} ἀλλά^{c} οὐ^{xo} κατά^{p} ἐπίγνωσις^{nafs}. **v.3** ἀγνοέω^{vppanmp} γάρ^{c} ὁ^{dafs} ὁ^{dgms} θεός^{ngms} δικαιοσύνη^{nafs} καί^{c} ὁ^{dafs} ἴδιος^{aafsn} δικαιοσύνη^{nafs} ζητέω^{vppanmp} ἵστημι^{vnaa} ὁ^{ddfs} δικαιοσύνη^{ndfs} ὁ^{dgms} θεός^{ngms} οὐ^{xo} ὑποτάσσω^{viap3p}. **v.4** τέλος^{nnns} γάρ^{c} νόμος^{ngms} Χριστός^{nnms} εἰς^{p} δικαιοσύνη^{nafs} πᾶς^{admsn} ὁ^{ddms} πιστεύω^{vppadms}. **v.5** Μωϋσῆς^{nnms} γάρ^{c} γράφω^{vipa3s} ὁ^{dafs} δικαιοσύνη^{nafs} ὁ^{dafs} ἐκ^{p} ὁ^{dgms} νόμος^{ngms} ὅτι^{c} ὁ^{dnms} ποιέω^{vpaanms} αὐτός^{rpanp} ἄνθρωπος^{nnms} ζάω^{vifd3s} ἐν^{p} αὐτός^{rpdnp}. **v.6** ὁ^{dnfs} δέ^{c} ἐκ^{p} πίστις^{ngfs} δικαιοσύνη^{nnfs} οὕτω^{bo} λέγω^{vipa3s} μή^{xo} λέγω^{vsaa2s} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-s}$ τίς^{rqnms} ἀναβαίνω^{vifd3s} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} οὗτος^{rdnns} εἰμί^{vipxxr} Χριστός^{nams} κατάγω^{vnaa}. **v.7** ἤ^{xo} τίς^{rqnms} καταβαίνω^{vifd3s} εἰς^{p} ὁ^{dafs} ἄβυσσος^{nafs} οὗτος^{rdnns} εἰμί^{vipxxr} Χριστός^{nams} ἐκ^{p} νεκρός^{agmpn} ἀνάγω^{vnaa}. **v.8** ἀλλά^{c} τίς^{rqans} λέγω^{vipa3s} ἐγγύς^{bo} σύ$^{rpg-s}$ ὁ^{dnns} ῥῆμα^{nnns} εἰμί^{vipx3s} ἐν^{p} ὁ^{ddns} στόμα^{ndns} σύ$^{rpg-s}$ καί^{c} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-s}$ οὗτος^{rdnns} εἰμί^{vipxto} ὁ^{dnns} ῥῆμα^{nnns} ὁ^{dgfs} πίστις^{ngfs} ὅς^{rrans} κηρύσσω^{vipa1p}. **v.9** ὅτι^{c} ἐάν^{qo} ὁμολογέω^{vsaa2s} ἐν^{p} ὁ^{ddns} στόμα^{ndns} σύ$^{rpg-s}$ κύριος^{nams} Ἰησοῦς^{nams} καί^{c} πιστεύω^{vsaa2s} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-s}$ ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} αὐτός^{rpams} ἐγείρω^{viaa3s} ἐκ^{p} νεκρός^{agmpn} σῴζω^{vifp2s}.

δικαιοσύνην στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. λέγει γὰρ ἡ γραφή Πᾶς ὁ πιστεύων ἐπ αὐτῷ οὐ καταισχυνθήσεται. οὐ γάρ ἐστιν διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος ὁ γὰρ αὐτὸς κύριος πάντων πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν, Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται. Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν πῶς δὲ ἀκούσουσιν χωρὶς κηρύσσοντος. πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσιν καθὼς γέγραπται Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ἀλλ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ Ἡσαΐας γὰρ λέγει Κύριε τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν. ἄρα ἡ πίστις ἐξ ἀκοῆς ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. ἀλλὰ λέγω μὴ οὐκ ἤκουσαν μενοῦνγε, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ἀλλὰ λέγω μὴ οὐκ ἔγνω Ἰσραὴλ πρῶτος Μωσῆς λέγει Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ οὐκ ἔθνει ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. πρὸς δὲ τὸν Ἰσραὴλ λέγει Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.

11 Λέγω οὖν μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ μὴ γένοιτο, καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί ἐκ σπέρματος Ἀβραάμ φυλῆς Βενια-

---

v.10 καρδία^{ndfs} γάρ^{c} πιστεύω^{vipp3s} εἰς^{p} δικαιοσύνη^{nafs} στόμα^{ndns} δέ^{c} ὁμολογέω^{vipp3s} εἰς^{p} σωτηρία^{nafs}. **v.11** λέγω^{vipa3s} γάρ^{c} ὁ^{dnfs} γραφή^{nnfs} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} ἐπί^{p} αὐτός^{rpdms} οὐ^{xo} καταισχύνω^{vifp3s}. **v.12** οὐ^{xo} γάρ^{c} εἰμί^{vipx3s} διαστολή^{nnfs} Ἰουδαῖος^{agmsn} τέ^{xo} καί^{c} Ἕλλην^{ngms} ὁ^{dnms} γάρ^{c} αὐτός^{rpnms} κύριος^{nnms} πᾶς^{agmpn} πλουτέω^{vppanms} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἐπικαλέω^{vppmamp} αὐτός^{rpams}. **v.13** πᾶς^{anmsn} γάρ^{c} ὅς^{rrnms} ἄν^{xo} ἐπικαλέω^{vsam3s} ὁ^{dans} ὄνομα^{nans} κύριος^{ngms} σῴζω^{vifp3s}. **v.14** πῶς^{bo} οὖν^{c} ἐπικαλέω^{vifm3p} εἰς^{p} ὅς^{rrams} οὐ^{xo} πιστεύω^{viaa3p} πῶς^{bo} δέ^{c} πιστεύω^{vifa3p} ὅς^{rrgms} οὐ^{xo} ἀκούω^{viaa3p} πῶς^{bo} δέ^{c} ἀκούω^{vifa3p} χωρίς^{bo} κηρύσσω^{vppagms}. **v.15** πῶς^{bo} δέ^{c} κηρύσσω^{vifa3p} ἐάν^{qo} μή^{xo} ἀποστέλλω^{vsap3p} καθώς^{bo} γράφω^{vixp3s} ὡς^{bo} ὡραῖος^{anmpn} ὁ^{dnmp} πούς^{nnmp} ὁ^{dgmp} εὐαγγελίζω^{vppmgmp} εἰρήνη^{nafs} ὁ^{dgmp} εὐαγγελίζω^{vppmgmp} ὁ^{danp} ἀγαθός^{aanpn}. **v.16** ἀλλά^{c} οὐ^{xo} πᾶς^{anmpn} ὑπακούω^{viaa3p} ὁ^{ddns} εὐαγγέλιον^{ndns} Ἡσαΐας^{nnms} γάρ^{c} λέγω^{vipa3s} κύριος^{nvms} τίς^{rqnms} πιστεύω^{viaa3s} ὁ^{ddfs} ἀκοή^{ndfs} ἐγώ$^{rpg\text{-}p}$. **v.17** ἄρα^{xo} ὁ^{dnfs} πίστις^{nnfs} ἐκ^{p} ἀκοή^{ngfs} ὁ^{dnfs} δέ^{c} ἀκοή^{nnfs} διά^{p} ῥῆμα^{ngns} θεός^{ngms}. **v.18** ἀλλά^{c} λέγω^{vipa1s} μή^{xo} οὐ^{xo} ἀκούω^{viaa3p} μενοῦνγε^{xo} εἰς^{p} πᾶς^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἐξέρχομαι^{viaa3s} ὁ^{dnms} φθόγγος^{nnms} αὐτός^{rpgmp} καί^{c} εἰς^{p} ὁ^{danp} πέρας^{nanp} ὁ^{dgfs} οἰκουμένη^{ngfs} ὁ^{dnnp} ῥῆμα^{nnnp} αὐτός^{rpgmp}. **v.19** ἀλλά^{c} λέγω^{vipa1s} μή^{xo} οὐ^{xo} γινώσκω^{viaa3s} Ἰσραήλ^{tp} πρῶτος^{anmsn} Μωϋσῆς^{nnms} λέγω^{vipa3s} ἐγώ$^{rpn\text{-}s}$ παραζηλόω^{vifa1s} σύ$^{rpa\text{-}p}$ ἐπί^{p} οὐ^{xo} ἔθνος^{ndns} ἐπί^{p} ἔθνος^{ndns} ἀσύνετος^{adnsn} παροργίζω^{vifa1s} σύ$^{rpa\text{-}p}$. **v.20** Ἡσαΐας^{nnms} δέ^{c} ἀποτολμάω^{vipa3s} καί^{c} λέγω^{vipa3s} εὑρίσκω^{viap1s} ὁ^{ddmp} ἐγώ$^{rpa\text{-}s}$ μή^{xo} ζητέω^{vppadmp} ἐμφανής^{anmsn} γίνομαι^{viad1s} ὁ^{ddmp} ἐγώ$^{rpa\text{-}s}$ μή^{xo} ἐπερωτάω^{vppadmp}. **v.21** πρός^{p} δέ^{c} ὁ^{dams} Ἰσραήλ^{tp} λέγω^{vipa3s} ὅλος^{aafsn} ὁ^{dafs} ἡμέρα^{nafs} ἐκπετάννυμι^{viaa1s} ὁ^{dafp} χείρ^{nafp} ἐγώ$^{rpg\text{-}s}$ πρός^{p} λαός^{nams} ἀπειθέω^{vppaams} καί^{c} ἀντιλέγω^{vppaams}.

μίν. οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω ἢ οὐκ 2
οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ
τοῦ Ἰσραήλ λέγων, Κύριε τοὺς προφήτας σου ἀπέκτειναν καὶ 3
τὰ θυσιαστήριά σου κατέσκαψαν κἀγὼ ὑπελείφθην μόνος καὶ
ζητοῦσιν τὴν ψυχήν μου. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός 4
Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν
γόνυ τῇ Βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ ἐκ- 5
λογὴν χάριτος γέγονεν, εἰ δὲ χάριτι οὐκέτι ἐξ ἔργων ἐπεὶ ἡ 6
χάρις οὐκέτι γίνεται χάρις εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶν χάρις
ἐπεὶ τὸ ἔργον. οὐκέτι ἐστίν ἔργον. τί οὖν ὃ ἐπιζητεῖ Ἰσραήλ 7
τούτου οὐκ ἐπέτυχεν ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπω-
ρώθησαν. καθὼς γέγραπται Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα 8
κατανύξεως ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ ὦτα τοῦ μὴ ἀκού-
ειν ἕως τῆς σήμερον ἡμέρας. καὶ Δαβὶδ λέγει Γενηθήτω ἡ 9
τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον καὶ
εἰς ἀνταπόδομα αὐτοῖς. σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν 10
τοῦ μὴ βλέπειν καὶ τὸν νῶτον αὐτῶν διαπαντός σύγκαμψον.
Λέγω οὖν μὴ ἔπταισαν ἵνα πέσωσιν μὴ γένοιτο, ἀλλὰ τῷ αὐ- 11
τῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν εἰς τὸ παραζηλῶσαι
αὐτούς. εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου καὶ τὸ 12
ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν πόσῳ μᾶλλον τὸ πλήρωμα αὐ-

---

11. v.1 λέγω^{vipa1s} οὖν^{c} μή^{xo} ἀπωθέομαι^{viad3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} λαός^{nams} αὐτός^{rpgms} μή^{xo} γίνομαι^{voad3s} καί^{c} γάρ^{c} ἐγώ$^{rpn-s}$ Ἰσραηλίτης^{nnms} εἰμί^{vipx1s} ἐκ^{p} σπέρμα^{ngns} Ἀβραάμ^{tp} φυλή^{ngfs} Βενιαμίν^{tp}. **v.2** οὐ^{xo} ἀπωθέομαι^{viad3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} λαός^{nams} αὐτός^{rpgms} ὅς^{rrams} προγινώσκω^{viaa3s} ἤ^{xo} οὐ^{xo} οἶδα^{vixa2p} ἐν^{p} Ἠλίας^{ndms} τίς^{rqans} λέγω^{vipa3s} ὁ^{dnfs} γραφή^{nnfs} ὡς^{bo} ἐντυγχάνω^{vipa3s} ὁ^{ddms} θεός^{ndms} κατά^{p} ὁ^{dgms} Ἰσραήλ^{tp} λέγω^{vppanms}. **v.3** κύριος^{nvms} ὁ^{damp} προφήτης^{namp} σύ$^{rpg-s}$ ἀποκτείνω^{viaa3p} καί^{c} ὁ^{danp} θυσιαστήριον^{nanp} σύ$^{rpg-s}$ κατασκάπτω^{viaa3p} κἀγώ$^{rpn-s}$ ὑπολείπω^{viap1s} μόνος^{anmsn} καί^{c} ζητέω^{vipa3p} ὁ^{dafs} ψυχή^{nafs} ἐγώ$^{rpg-s}$. **v.4** ἀλλά^{c} τίς^{rqans} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} χρηματισμός^{nnms} καταλείπω^{viaa1s} ἐμαυτοῦ^{rxdms} ἑπτακισχίλιοι^{aampn} ἀνήρ^{namp} ὅστις^{rrnmp} οὐ^{xo} κάμπτω^{viaa3p} γόνυ^{nans} ὁ^{ddfs} Βάαλ^{tp}. **v.5** οὕτω^{bo} οὖν^{c} καί^{c} ἐν^{p} ὁ^{ddms} νῦν^{bo} καιρός^{ndms} λεῖμμα^{nnns} κατά^{p} ἐκλογή^{nafs} χάρις^{ngfs} γίνομαι^{vixa3s}. **v.6** εἰ^{qo} δέ^{c} χάρις^{ndfs} οὐκέτι^{bo} ἐκ^{p} ἔργον^{ngnp} ἐπεί^{c} ὁ^{dnfs} χάρις^{nnfs} οὐκέτι^{bo} γίνομαι^{vipn3s} χάρις^{nnfs} εἰ^{qo} δέ^{c} ἐκ^{p} ἔργον^{ngnp} οὐκέτι^{bo} εἰμί^{vipx3s} χάρις^{nnfs} ἐπεί^{c} ὁ^{dnns} ἔργον^{nnns} οὐκέτι^{bo} εἰμί^{vipx3s} ἔργον^{nnns}. **v.7** τίς^{rqnns} οὖν^{c} ὅς^{rrans} ἐπιζητέω^{vipa3s} Ἰσραήλ^{tp} οὗτος^{rdgns} οὐ^{xo} ἐπιτυγχάνω^{viaa3s} ὁ^{dnfs} δέ^{c} ἐκλογή^{nnfs} ἐπιτυγχάνω^{viaa3s} ὁ^{dnmp} δέ^{c} λοιπός^{anmpn} πωρόω^{viap3p}. **v.8** καθώς^{bo} γράφω^{vixp3s} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} θεός^{nnms} πνεῦμα^{nans} κατάνυξις^{ngfs} ὀφθαλμός^{namp} ὁ^{dgms} μή^{xo} βλέπω^{vnpa} καί^{c} οὖς^{nanp} ὁ^{dgms} μή^{xo} ἀκούω^{vnpa} ἕως^{c} ὁ^{dgfs} σήμερον^{bo} ἡμέρα^{ngfs}. **v.9** καί^{c} Δαυίδ^{tp} λέγω^{vipa3s} γίνομαι^{vdao3s} ὁ^{dnfs} τράπεζα^{nnfs} αὐτός^{rpgmp} εἰς^{p} παγίς^{nafs} καί^{c} εἰς^{p} θήρα^{nafs} καί^{c} εἰς^{p} σκάνδαλον^{nans} καί^{c} εἰς^{p} ἀνταπόδομα^{nans} αὐτός^{rpdmp}. **v.10** σκοτίζω^{vdap3p} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} αὐτός^{rpgmp} ὁ^{dgms} μή^{xo} βλέπω^{vnpa} καί^{c} ὁ^{dams} νῶτος^{nams} αὐτός^{rpgmp} διά&πᾶς^{bo} συγκάμπτω^{vdaa2s}. **v.11** λέγω^{vipa1s} οὖν^{c} μή^{xo} πταίω^{viaa3p} ἵνα^{c} πίπτω^{vsaa3p} μή^{xo} γίνομαι^{voad3s} ἀλλά^{c} ὁ^{ddns} αὐτός^{rpgmp} παράπτωμα^{ndns} ὁ^{dnfs} σωτηρία^{nnfs} ὁ^{ddnp} ἔθνος^{ndnp} εἰς^{p} ὁ^{dans} παραζηλόω^{vnaa} αὐτός^{rpamp}.

13 τῶν. Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν
14 ἀπόστολος τὴν διακονίαν μου δοξάζω. εἴ πως παραζηλώσω
15 μου τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐτῶν. εἰ γὰρ ἡ ἀποβο-
λὴ αὐτῶν καταλλαγὴ κόσμου τίς ἡ πρόσληψις εἰ μὴ ζωὴ ἐκ
16 νεκρῶν. εἰ δὲ ἡ ἀπαρχὴ ἁγία καὶ τὸ φύραμα, καὶ εἰ ἡ ῥίζα
17 ἁγία καὶ οἱ κλάδοι. Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν σὺ
δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς καὶ συγκοινωνὸς τῆς
18 ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου. μὴ κατακαυχῶ τῶν
κλάδων, εἰ δὲ κατακαυχᾶσαι οὐ σὺ τὴν ῥίζαν βαστάζεις ἀλ᾽λ ἡ
19 ῥίζα σέ. ἐρεῖς οὖν Ἐξεκλάσθησαν οἱ κλάδοι ἵνα ἐγὼ ἐγκεντρι-
20 σθῶ. καλῶς, τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν σὺ δὲ τῇ πίστει ἕστηκας
21 μὴ ὑψηλὸφρόνει, ἀλλὰ φοβοῦ, εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν
22 κλάδων οὐκ ἐφείσατο μήπως οὐδὲ σοῦ φείσηται. ἴδε οὖν χρη-
στότητα καὶ ἀποτομίαν θεοῦ, ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν
ἐπὶ δὲ σὲ χρηστότητα ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι ἐπεὶ καὶ σὺ
23 ἐκκοπήσῃ. καὶ ἐκεῖνοι δέ ἐὰν μὴ ἐπιμείνωσιν τῇ ἀπιστίᾳ ἐγ-
κεντρισθήσονται, δυνατὸς γάρ ἐστιν ὁ θεὸς πάλιν ἐγκεντρίσαι
24 αὐτούς. εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου
καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον πόσῳ μᾶλλον
25 οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ. Οὐ γὰρ

---

23 τες ζῳοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι, ἀπαρχὴ
24 Χριστός ἔπειτα οἱ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. εἶτα τὸ τέλος
ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί ὅταν καταργήσῃ
25 πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. δεῖ γὰρ αὐ-
τὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς
26, 27 πόδας αὐτοῦ. ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος, πάντα
γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ ὅταν δὲ εἴπῃ ὅτι πάντα
ὑποτέτακται δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.
28 ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποτα-
γήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν
29 πᾶσιν. Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν
εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται τί καὶ βαπτίζονται ὑπὲρ τῶν νε-
30, 31 κρῶν· τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν. καθ ἡμέραν
ἀποθνῄσκω νὴ τὴν ἡμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ
32 τῷ κυρίῳ ἡμῶν. εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ
τί μοι τὸ ὄφελος εἰ νεκροὶ οὐκ ἐγείρονται Φάγωμεν καὶ πίωμεν
33 αὔριον γὰρ ἀποθνῄσκομεν. μὴ πλανᾶσθε, Φθείρουσιν ἤθη
34 χρησ᾽θ ὁμιλίαι κακαί. ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε
ἀγνωσίαν γὰρ θεοῦ τινες ἔχουσιν πρὸς ἐντροπὴν ὑμῖν λέγω.
35 ἀλλ᾽ ἐρεῖ τις Πῶς ἐγείρονται οἱ νεκροί ποίῳ δὲ σώματι ἔρχονται.

---

v.22 ὥσπερ^{bo} γάρ^{c} ἐν^{p} ὁ^{ddms} Ἀδάμ^{tp} πᾶς^{anmpn} ἀποθνῄσκω^{vipa3p} οὕτω^{bo} καί^{c} ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms} πᾶς^{anmpn} ζῳοποιέω^{vifp3p}. **v.23** ἕκαστος^{anmsn} δέ^{c} ἐν^{p} ὁ^{ddns} ἴδιος^{admsn} τάγμα^{ndns} ἀπαρχή^{nnfs} Χριστός^{nnms} ἔπειτα^{bo} ὁ^{dnmp} Χριστός^{ngms} ἐν^{p} ὁ^{ddfs} παρουσία^{ndfs} αὐτός^{rpgms}. **v.24** εἶτα^{bo} ὁ^{dnns} τέλος^{nnns} ὅταν^{c} παραδίδωμι^{vsaa3s} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{ddms} θεός^{ndms} καί^{c} πατήρ^{ndms} ὅταν^{c} καταργέω^{vsaa3s} πᾶς^{aafsn} ἀρχή^{nafs} καί^{c} πᾶς^{aafsn} ἐξουσία^{nafs} καί^{c} δύναμις^{nafs}. **v.25** δεῖ^{vipq3s} γάρ^{c} αὐτός^{rpams} βασιλεύω^{vnpa} ἄχρι^{p} ὅς^{bo} ἄν^{xo} τίθημι^{vsaa3s} πᾶς^{aampn} ὁ^{damp} ἐχθρός^{aampn} ὑπό^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms}. **v.26** ἔσχατος^{anmsn} ἐχθρός^{anmsn} καταργέω^{vipp3s} ὁ^{dnms} θάνατος^{nnms}. **v.27** πᾶς^{aanpn} γάρ^{c} ὑποτάσσω^{viaa3s} ὑπό^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} ὅταν^{c} δέ^{c} λέγω^{vsaa3s} ὅτι^{c} πᾶς^{annpn} ὑποτάσσω^{vixp3s} δῆλος^{annsn} ὅτι^{c} ἐκτός^{bo} ὁ^{dgms} ὑποτάσσω^{vpaagms} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn}. **v.28** ὅταν^{c} δέ^{c} ὑποταγή^{vsap3s} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} τότε^{bo} καί^{c} αὐτός^{rpnms} ὁ^{dnms} υἱός^{nnms} ὑποτάσσω^{vifp3s} ὁ^{ddms} ὑποτάσσω^{vpaadms} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} ἵνα^{c} εἰμί^{vspx3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnnp} πᾶς^{annpn} ἐν^{p} πᾶς^{adnpn}. **v.29** ἐπεί^{c} τίς^{rqans} ποιέω^{vifa3p} ὁ^{dnmp} βαπτίζω^{vpppnmp} ὑπέρ^{p} ὁ^{dgmp} νεκρός^{agmpn} εἰ^{qo} ὅλως^{bo} νεκρός^{anmpn} οὐ^{xo} ἐγείρω^{vipp3p} τίς^{rqans} καί^{c} βαπτίζω^{vipp3p} ὑπέρ^{p} ὁ^{dgmp} νεκρός^{agmpn}. **v.30** τίς^{rqans} καί^{c} ἐγώ$^{rpn-p}$ κινδυνεύω^{vipa1p} πᾶς^{aafsn} ὥρα^{nafs}. **v.31** κατά^{p} ἡμέρα^{nafs} ἀποθνῄσκω^{vipa1s} νή^{xo} ὁ^{dafs} ἡμέτερος^{rsafs} καύχησις^{nafs} ὅς^{rrafs} ἔχω^{vipa1s} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-p}$. **v.32** εἰ^{qo} κατά^{p} ἄνθρωπος^{nams} θηριομαχέω^{viaa1s} ἐν^{p} Ἔφεσος^{ndfs} τίς^{rqnns} ἐγώ$^{rpd-s}$ ὁ^{dnns} ὄφελος^{nnns} εἰ^{qo} νεκρός^{anmpn} οὐ^{xo} ἐγείρω^{vipp3p} ἐσθίω^{vsaa1p} καί^{c} πίνω^{vsaa1p} αὔριον^{bo} γάρ^{c} ἀποθνῄσκω^{vipa1p}. **v.33** μή^{xo} πλανάω^{vdpp2p} φθείρω^{vipa3p} ἦθος^{nanp} χρηστός^{aanpn} ὁμιλία^{nnfp} κακός^{anfpn}. **v.34** ἐκνήφω^{vdaa2p} δικαίως^{bo} καί^{c} μή^{xo} ἁμαρτάνω^{vipa2p} ἀγνωσία^{nafs} γάρ^{c} θεός^{ngms} τι-σρινμπ ἔχω^{vipa3p} πρός^{p} ἐντροπή^{nafs} σύ$^{rpd-p}$ λέγω^{vipa1s}. **v.35** ἀλλά^{c} λέγω^{vifa3s} τι-σρινμσ πῶς^{bo} ἐγείρω^{vipp3p} ὁ^{dnmp} νεκρός^{anmpn} ποῖος^{rqdns} δέ^{c} σῶμα^{ndns} ἔρχομαι^{vipn3p}.

Ἄφρον σὺ ὃ σπείρεις οὐ ζῳοποιεῖται ἐὰν μὴ ἀποθάνῃ, καὶ 36, 37
ὃ σπείρεις οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις ἀλλὰ γυμνὸν
κόκκον εἰ τύχοι σίτου ἢ τινος τῶν λοιπῶν, ὁ δὲ θεὸς αὐτῷ δίδω- 38
σιν σῶμα καθὼς ἠθέλησεν καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον
σῶμα. οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ ἀλλὰ ἄλλη μὲν σὰρξ ἀν- 39
θρώπων ἄλλη δὲ σὰρξ κτηνῶν ἄλλη δὲ ἰχθύων ἄλλη δὲ πτηνῶν.
καὶ σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια, ἀλλ᾽ ἑτέρα μὲν ἡ 40
τῶν ἐπουρανίων δόξα ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. ἄλλη δόξα ἡ- 41
λίου καὶ ἄλλη δόξα σελήνης καὶ ἄλλη δόξα ἀστέρων, ἀστὴρ
γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτως καὶ ἡ ἀνάστασις τῶν 42
νεκρῶν σπείρεται ἐν φθορᾷ ἐγείρεται ἐν ἀφθαρσίᾳ, σπείρεται 43
ἐν ἀτιμίᾳ ἐγείρεται ἐν δόξῃ, σπείρεται ἐν ἀσθενείᾳ ἐγείρεται ἐν
δυνάμει, σπείρεται σῶμα ψυχικόν ἐγείρεται σῶμα πνευματι- 44
κόν ἔστιν σῶμα ψυχικόν καὶ ἔστιν σῶμα πνευματικόν. οὕτως 45
καὶ γέγραπται Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν
ζῶσαν ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζῳοποιοῦν. ἀλλ οὐ πρῶτον 46
τὸ πνευματικὸν ἀλλὰ τὸ ψυχικόν ἔπειτα τὸ πνευματικόν. ὁ 47
πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός ὁ δεύτερος ἄνθρωπος ὁ Κύ-
ριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός τοιοῦτοι καὶ οἱ χοϊκοί καὶ 48
οἷος ὁ ἐπουράνιος τοιοῦτοι καὶ οἱ ἐπουράνιοι, καὶ καθὼς ἐ- 49
φορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ φορέσομεν καὶ τὴν εἰκόνα

---

v.36 ἄφρων^{avmsn} σύ$^{rpn\text{-}s}$ ὃς^{rrnns} σπείρω^{vipa2s} οὐ^{xo} ζῳοποιέω^{vipp3s} ἐάν^{qo} μή^{xo} ἀποθνῄσκω^{vsaa3s}.
v.37 καί^{c} ὃς^{rrnns} σπείρω^{vipa2s} οὐ^{xo} ὁ^{dans} σῶμα^{nans} ὁ^{dans} γίνομαι^{vpfdans} σπείρω^{vipa2s} ἀλλά^{c} γυμνός^{aamsn} κόκκος^{nams} εἰ^{qo} τυγχάνω^{voaa3s} σῖτος^{ngms} ἤ^{xo} τι-σριγμσ ὁ^{dgmp} λοιπός^{agmpn}.
v.38 ὁ^{dnms} δέ^{c} θεός^{nnms} αὐτός^{rpdms} δίδωμι^{vipa3s} σῶμα^{nans} καθώς^{bo} θέλω^{viaa3s} καί^{c} ἕκαστος^{adnsn} ὁ^{dgnp} σπέρμα^{ngnp} ὁ^{dans} ἴδιος^{aansn} σῶμα^{nans}. **v.39** οὐ^{xo} πᾶς^{anfsn} σάρξ^{nnfs} ὁ^{dnfs} αὐτός^{rpnfs} σάρξ^{nnfs} ἀλλά^{c} ἄλλος^{anfsn} μέν^{xo} σάρξ^{nnfs} ἄνθρωπος^{ngmp} ἄλλος^{anfsn} δέ^{c} σάρξ^{nnfs} κτῆνος^{ngnp} ἄλλος^{anfsn} δέ^{c} ἰχθύς^{ngmp} ἄλλος^{anfsn} δέ^{c} πτηνός^{agnpn}. **v.40** καί^{c} σῶμα^{nnnp} ἐπουράνιος^{annpn} καί^{c} σῶμα^{nnnp} ἐπίγειος^{annpn} ἀλλά^{c} ἕτερος^{anfsn} μέν^{xo} ὁ^{dnfs} ὁ^{dgnp} ἐπουράνιος^{agnpn} δόξα^{nnfs} ἕτερος^{anfsn} δέ^{c} ὁ^{dnfs} ὁ^{dgnp} ἐπίγειος^{agnpn}. **v.41** ἄλλος^{anfsn} δόξα^{nnfs} ἥλιος^{ngms} καί^{c} ἄλλος^{anfsn} δόξα^{nnfs} σελήνη^{ngfs} καί^{c} ἄλλος^{anfsn} δόξα^{nnfs} ἀστήρ^{ngmp} ἀστήρ^{nnms} γάρ^{c} ἀστήρ^{ngms} διαφέρω^{vipa3s} ἐν^{p} δόξα^{ndfs}. **v.42** οὕτω^{bo} καί^{c} ὁ^{dnfs} ἀνάστασις^{nnfs} ὁ^{dgmp} νεκρός^{agmpn} σπείρω^{vipp3s} ἐν^{p} φθορά^{ndfs} ἐγείρω^{vipp3s} ἐν^{p} ἀφθαρσία^{ndfs}. **v.43** σπείρω^{vipp3s} ἐν^{p} ἀτιμία^{ndfs} ἐγείρω^{vipp3s} ἐν^{p} δόξα^{ndfs} σπείρω^{vipp3s} ἐν^{p} ἀσθένεια^{ndfs} ἐγείρω^{vipp3s} ἐν^{p} δύναμις^{ndfs}.
v.44 σπείρω^{vipp3s} σῶμα^{nnns} ψυχικός^{annsn} ἐγείρω^{vipp3s} σῶμα^{nnns} πνευματικός^{annsn} εἰμί^{vipx3s} σῶμα^{nnns} ψυχικός^{annsn} καί^{c} εἰμί^{vipx3s} σῶμα^{nnns} πνευματικός^{annsn}. **v.45** οὕτω^{bo} καί^{c} γράφω^{vixp3s} γίνομαι^{viad3s} ὁ^{dnms} πρῶτος^{anmsn} ἄνθρωπος^{nnms} Ἀδάμ^{tp} εἰς^{p} ψυχή^{nafs} ζάω^{vppaafs} ὁ^{dnms} ἔσχατος^{anmsn} Ἀδάμ^{tp} εἰς^{p} πνεῦμα^{nans} ζῳοποιέω^{vppaans}. **v.46** ἀλλά^{c} οὐ^{xo} πρῶτος^{bo} ὁ^{dnns} πνευματικός^{annsn} ἀλλά^{c} ὁ^{dnns} ψυχικός^{annsn} ἔπειτα^{bo} ὁ^{dnns} πνευματικός^{annsn}.
v.47 ὁ^{dnms} πρῶτος^{anmsn} ἄνθρωπος^{nnms} ἐκ^{p} γῆ^{ngfs} χοϊκός^{anmsn} ὁ^{dnms} δεύτερος^{anmsn} ἄνθρωπος^{nnms} ὁ^{dnms} κύριος^{nnms} ἐκ^{p} οὐρανός^{ngms}. **v.48** οἷος^{rcnms} ὁ^{dnms} χοϊκός^{anmsn} τοιοῦτος^{rdnmp} καί^{c} ὁ^{dnmp} χοϊκός^{anmpn} καί^{c} οἷος^{rcnms} ὁ^{dnms} ἐπουράνιος^{anmsn} τοιοῦτος^{rdnmp} καί^{c} ὁ^{dnmp} ἐπουράνιος^{anmpn}.

50 τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι ἀδελφοί ὅτι σὰρξ καὶ αἷμα
βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται οὐδὲ ἡ φθορὰ τὴν
51 ἀφθαρσίαν κληρονομεῖ. ἰδοὺ μυστήριον ὑμῖν λέγω, πάντες
52 μὲν οὐ κοιμηθησόμεθα πάντες δὲ ἀλλαγησόμεθα. ἐν ἀτόμῳ
ἐν ῥιπῇ ὀφθαλμοῦ ἐν τῇ ἐσχάτῃ σάλπιγγι, σαλπίσει γάρ καὶ οἱ
53 νεκροὶ ἐγερθήσονται ἄφθαρτοι καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ
γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν
54 τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐν-
δύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν
τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος Κατεπόθη ὁ θάνατος εἰς
55 νῖκος. ποῦ σου θάνατε τὸ κέντρον ποῦ σου ᾅδη, τὸ νῖκος.
56 τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία ἡ δὲ δύναμις τῆς ἁμαρ-
57 τίας ὁ νόμος, τῷ δὲ θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ
58 τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥστε ἀδελφοί μου ἀγαπη-
τοί ἑδραῖοι γίνεσθε ἀμετακίνητοι περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ
κυρίου πάντοτε εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν κενὸς ἐν
κυρίῳ.

16 Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους ὥσπερ διέταξα ταῖς
2 ἐκκλησίαις τῆς Γαλατίας οὕτως καὶ ὑμεῖς ποιήσατε. κατὰ μίαν
σαββάτων ἕκαστος ὑμῶν παρ ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν
3 εὐοδῶται ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι γίνωνται. ὅταν δὲ πα-

---

v.49 καί[c] καθώς[bo] φορέω[viaa1p] ὁ[dafs] εἰκών[nafs] ὁ[dgms] χοϊκός[agmsn] φορέω[vifa1p] καί[c] ὁ[dafs] εἰκών[nafs] ὁ[dgms] ἐπουράνιος[agmsn]. **v.50** οὗτος[rdans] δέ[c] φημί[vipx1s] ἀδελφός[nvmp] ὅτι[c] σάρξ[nnfs] καί[c] αἷμα[nnns] βασιλεία[nafs] θεός[ngms] κληρονομέω[vnaa] οὐ[xo] δύναμαι[vipn3p] οὐδέ[bo] ὁ[dnfs] φθορά[nnfs] ὁ[dafs] ἀφθαρσία[nafs] κληρονομέω[vipa3s]. **v.51** ἰδού[vdaa2s] μυστήριον[nans] σύ[rpd-p] λέγω[vipa1s] πᾶς[anmpn] μέν[xo] οὐ[xo] κοιμάομαι[vifp1p] πᾶς[anmpn] δέ[c] ἀλλάσσω[vifp1p]. **v.52** ἐν[p] ἄτομος[adnsn] ἐν[p] ῥιπή[ndfs] ὀφθαλμός[ngms] ἐν[p] ὁ[ddfs] ἔσχατος[adfsn] σάλπιγξ[ndfs] σαλπίζω[vifa3s] γάρ[c] καί[c] ὁ[dnmp] νεκρός[anmpn] ἐγείρω[vifp3p] ἄφθαρτος[anmpn] καί[c] ἐγώ[rpn-p] ἀλλάσσω[vifp1p]. **v.53** δεῖ[vipq3s] γάρ[c] ὁ[dnns] φθαρτός[annsn] οὗτος[rdnns] ἐνδύω[vnam] ἀφθαρσία[nafs] καί[c] ὁ[dnns] θνητός[annsn] οὗτος[rdnns] ἐνδύω[vnam] ἀθανασία[nafs]. **v.54** ὅταν[c] δέ[c] ὁ[dnns] φθαρτός[annsn] οὗτος[rdnns] ἐνδύω[vsam3s] ἀφθαρσία[nafs] καί[c] ὁ[dnns] θνητός[annsn] οὗτος[rdnns] ἐνδύω[vsam3s] ἀθανασία[nafs] τότε[bo] γίνομαι[vifd3s] ὁ[dnms] λόγος[nnms] ὁ[dnms] γράφω[vpxpnms] καταπίνω[viap3s] ὁ[dnms] θάνατος[nnms] εἰς[p] νῖκος[nans]. **v.55** ποῦ[xo] σύ[rpg-s] θάνατος[nvms] ὁ[dnns] κέντρον[nnns] ποῦ[xo] σύ[rpg-s] ᾅδης[nvms] ὁ[dnns] νῖκος[nnns]. **v.56** ὁ[dnns] δέ[c] κέντρον[nnns] ὁ[dgms] θάνατος[ngms] ὁ[dnfs] ἁμαρτία[nnfs] ὁ[dnfs] δέ[c] δύναμις[nnfs] ὁ[dgfs] ἁμαρτία[ngfs] ὁ[dnms] νόμος[nnms]. **v.57** ὁ[ddms] δέ[c] θεός[ndms] χάρις[nnfs] ὁ[ddms] δίδωμι[vppadms] ἐγώ[rpd-p] ὁ[dans] νῖκος[nans] διά[p] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.58** ὥστε[c] ἀδελφός[nvmp] ἐγώ[rpg-s] ἀγαπητός[avmpn] ἑδραῖος[anmpn] γίνομαι[vdpn2p] ἀμετακίνητος[anmpn] περισσεύω[vppanmp] ἐν[p] ὁ[ddns] ἔργον[ndns] ὁ[dgms] κύριος[ngms] πάντοτε[bo] οἶδα[vpxanmp] ὅτι[c] ὁ[dnms] κόπος[nnms] σύ[rpg-p] οὐ[xo] εἰμί[vipx3s] κενός[anmsn] ἐν[p] κύριος[ndms].
16. v.1 περί[p] δέ[c] ὁ[dgfs] λογεία[ngfs] ὁ[dgfs] εἰς[p] ὁ[damp] ἅγιος[aampn] ὥσπερ[bo] διατάσσω[viaa1s] ὁ[ddfp] ἐκκλησία[ndfp] ὁ[dgfs] Γαλατία[ngfs] οὕτω[bo] καί[c] σύ[rpn-p] ποιέω[vdaa2p]. **v.2** κατά[p] εἷς[nafs] σάββατον[ngnp] ἕκαστος[anmsn] σύ[rpg-p] παρά[p] ἑαυτοῦ[rxdms] τίθημι[vdpa3s] θησαυρίζω[vppanms] ὅς[rrans] τι-σριανσ ἄν[xo] εὐοδόω[vspp3s] ἵνα[c] μή[xo] ὅταν[c] ἔρχομαι[vsaa1s] τότε[bo] λογεία[nnfp] γίνομαι[vspn3p].

ραγένωμαι οὓς ἐὰν δοκιμάσητε δι᾽ ἐπιστολῶν τούτους πέμψω
ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἰερουσαλήμ, ἐὰν δὲ ᾖ ἄξιον τοῦ 4
κἀμὲ πορεύεσθαι σὺν ἐμοὶ πορεύσονται. Ἐλεύσομαι δὲ πρὸς 5
ὑμᾶς ὅταν Μακεδονίαν διέλθω, Μακεδονίαν γὰρ διέρχομαι.
πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ ἢ καὶ παραχειμάσω ἵνα ὑμεῖς 6
με προπέμψητε οὗ ἐὰν πορεύωμαι. οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν 7
παρόδῳ ἰδεῖν ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς ἐὰν ὁ
κύριος ἐπιτρέπῃ. ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς, 8
θύρα γάρ μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργής καὶ ἀντικείμενοι 9
πολλοί. Ἐὰν δὲ ἔλθῃ Τιμόθεος βλέπετε ἵνα ἀφόβως γένηται 10
πρὸς ὑμᾶς, τὸ γὰρ ἔργον κυρίου ἐργάζεται ὡς καὶ ἐγώ. μή 11
τις οὖν αὐτὸν ἐξουθενήσῃ προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ ἵνα
ἔλθῃ πρός με, ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. Πε- 12
ρὶ δὲ Ἀπολλῶ τοῦ ἀδελφοῦ πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ
πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν, καὶ πάντως οὐκ ἦν θέλημα ἵνα
νῦν ἔλθῃ, ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ. Γρηγορεῖτε στήκετε 13
ἐν τῇ πίστει ἀνδρίζεσθε κραταιοῦσθε. πάντα ὑμῶν ἐν ἀγάπῃ 14
γινέσθω. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, οἴδατε τὴν οἰκίαν Στε- 15
φανᾶ ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις
ἔταξαν ἑαυτούς, ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις καὶ 16
παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ 17

---

v.3 ὅταν^{c} δέ^{c} παραγίνομαι^{vsad1s} ὅς^{rramp} ἐάν^{qo} δοκιμάζω^{vsaa2p} διά^{p} ἐπιστολή^{ngfp} οὗτος^{rdamp} πέμπω^{vifa1s} ἀποφέρω^{vnaa} ὁ^{dafs} χάρις^{nafs} σύ$^{rpg-p}$ εἰς^{p} Ἰερουσαλήμ^{tp}. **v.4** ἐάν^{qo} δέ^{c} εἰμί^{vspx3s} ἄξιος^{annsn} ὁ^{dgms} κἀγώ$^{rpa-s}$ πορεύομαι^{vnpn} σύν^{p} ἐγώ$^{rpd-s}$ πορεύομαι^{vifd3p}. **v.5** ἔρχομαι^{vifd1s} δέ^{c} πρός^{p} σύ$^{rpa-p}$ ὅταν^{c} Μακεδονία^{nafs} διέρχομαι^{vsaa1s} Μακεδονία^{nafs} γάρ^{c} διέρχομαι^{vipn1s}. **v.6** πρός^{p} σύ$^{rpa-p}$ δέ^{c} τυγχάνω^{vpaaans} παραμένω^{vifa1s} ᾖ^{xo} καί^{c} παραχειμάζω^{vifa1s} ἵνα^{c} σύ$^{rpn-p}$ ἐγώ$^{rpa-s}$ προπέμπω^{vsaa2p} ὅς^{bo} ἐάν^{qo} πορεύομαι^{vspn1s}. **v.7** οὐ^{xo} θέλω^{vipa1s} γάρ^{c} σύ$^{rpa-p}$ ἄρτι^{bo} ἐν^{p} πάροδος^{ndfs} ὁράω^{vnaa} ἐλπίζω^{vipa1s} δέ^{c} χρόνος^{nams} τι-σριαμσ ἐπιμένω^{vnaa} πρός^{p} σύ$^{rpa-p}$ ἐάν^{qo} ὁ^{dnms} κύριος^{nnms} ἐπιτρέπω^{vspa3s}. **v.8** ἐπιμένω^{vifa1s} δέ^{c} ἐν^{p} Ἔφεσος^{ndfs} ἕως^{c} ὁ^{dgfs} πεντηκοστή^{ngfs}. **v.9** θύρα^{nnfs} γάρ^{c} ἐγώ$^{rpd-s}$ ἀνοίγω^{vixa3s} μέγας^{anfsn} καί^{c} ἐνεργής^{anfsn} καί^{c} ἀντίκειμαι^{vppnnmp} πολύς^{anmpn}. **v.10** ἐάν^{qo} δέ^{c} ἔρχομαι^{vsaa3s} Τιμόθεος^{nnms} βλέπω^{vdpa2p} ἵνα^{c} ἀφόβως^{bo} γίνομαι^{vsad3s} πρός^{p} σύ$^{rpa-p}$ ὁ^{dans} γάρ^{c} ἔργον^{nans} κύριος^{ngms} ἐργάζομαι^{vipn3s} ὡς^{bo} καί^{c} ἐγώ$^{rpn-s}$. **v.11** μή^{xo} τι-σριμσ οὖν^{c} αὐτός^{rpams} ἐξουθενέω^{vsaa3s} προπέμπω^{vdaa2p} δέ^{c} αὐτός^{rpams} ἐν^{p} εἰρήνη^{ndfs} ἵνα^{c} ἔρχομαι^{vsaa3s} πρός^{p} ἐγώ$^{rpa-s}$ ἐκδέχομαι^{vipn1s} γάρ^{c} αὐτός^{rpams} μετά^{p} ὁ^{dgmp} ἀδελφός^{ngmp}. **v.12** περί^{p} δέ^{c} Ἀπολλῶς^{ngms} ὁ^{dgms} ἀδελφός^{ngms} πολύς^{aanpn} παρακαλέω^{viaa1s} αὐτός^{rpams} ἵνα^{c} ἔρχομαι^{vsaa3s} πρός^{p} σύ$^{rpa-p}$ μετά^{p} ὁ^{dgmp} ἀδελφός^{ngmp} καί^{c} πάντως^{bo} οὐ^{xo} εἰμί^{viix3s} θέλημα^{nnns} ἵνα^{c} νῦν^{bo} ἔρχομαι^{vsaa3s} ἔρχομαι^{vifd3s} δέ^{c} ὅταν^{c} εὐκαιρέω^{vsaa3s}. **v.13** γρηγορέω^{vdpa2p} στήκω^{vdpa2p} ἐν^{p} ὁ^{ddfs} πίστις^{ndfs} ἀνδρίζομαι^{vdpn2p} κραταιόω^{vdpp2p}. **v.14** πᾶς^{annpn} σύ$^{rpg-p}$ ἐν^{p} ἀγάπη^{ndfs} γίνομαι^{vdpn3s}. **v.15** παρακαλέω^{vipa1s} δέ^{c} σύ$^{rpa-p}$ ἀδελφός^{nvmp} οἶδα^{vixa2p} ὁ^{dafs} οἰκία^{nafs} Στεφανᾶς^{ngms} ὅτι^{c} εἰμί^{vipx3s} ἀπαρχή^{nnfs} ὁ^{dgfs} Ἀχαΐα^{ngfs} καί^{c} εἰς^{p} διακονία^{nafs} ὁ^{ddmp} ἅγιος^{admpn} τάσσω^{viaa3p} ἑαυτοῦ^{rxamp}. **v.16** ἵνα^{c} καί^{c} σύ$^{rpn-p}$ ὑποτάσσω^{vspp2p} ὁ^{ddmp} τοιοῦτος^{rddmp} καί^{c} πᾶς^{admsn} ὁ^{ddms} συνεργέω^{vppadms} καί^{c} κοπιάω^{vppadms}.

Στεφανᾶ καὶ φουρτουνάτου καὶ Ἀχαϊκοῦ ὅτι τὸ ὑμῶν ὑστέρημα
18 οὗτοι ἀνεπλήρωσαν, ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ
19 ὑμῶν ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. Ἀσπάζονται ὑμᾶς αἱ
ἐκκλησίαι τῆς Ἀσίας Ἀσπάζονται ὑμᾶς ἐν κυρίῳ πολλὰ Ἀκύλας
20 καὶ Πρίσκιλλα, σὺν τῇ κατ οἶκον αὐτῶν ἐκκλησίᾳ. ἀσπάζον-
ται ὑμᾶς οἱ ἀδελφοὶ πάντες Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι
21, 22 ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. εἴ τις οὐ φιλεῖ τὸν
23 κύριον Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα Μαρὰν ἀθα. ἡ χάρις τοῦ
24 κυρίου Ἰησοῦ Χριστοῦ μεθ ὑμῶν. ἡ ἀγάπη μου μετὰ πάντων
ὑμῶν ἐν Χριστῷ Ἰησοῦ ἀμήν. [πρός Κορινθίους πρώτη ἐγράφη
ἀπό Φιλίππων διά Στεφανᾶ καί φουρτουνάτου καί Ἀχαϊκοῦ καί
Τιμοθέου]

---

v.17 χαίρω^{vipa1s} δέ^{c} ἐπί^{p} ὁ^{ddfs} παρουσία^{ndfs} Στεφανᾶς^{ngms} καί^{c} Φορτουνᾶτος^{ngms} καί^{c} Ἀχαϊκός^{ngms} ὅτι^{c} ὁ^{dans} σύ$^{rpg\text{-}p}$ ὑστέρημα^{nans} οὗτος^{rdnmp} ἀναπληρόω^{viaa3p}. **v.18** ἀναπαύω^{viaa3p} γάρ^{c} ὁ^{dans} ἐμός^{rsans} πνεῦμα^{nans} καί^{c} ὁ^{dans} σύ$^{rpg\text{-}p}$ ἐπιγινώσκω^{vdpa2p} οὖν^{c} ὁ^{damp} τοιοῦτος^{rdamp}. **v.19** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}p}$ ὁ^{dnfp} ἐκκλησία^{nnfp} ὁ^{dgfs} Ἀσία^{ngfs} ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}p}$ ἐν^{p} κύριος^{ndms} πολύς^{aanpn} Ἀκύλας^{nnms} καί^{c} Πρίσκα^{nnfs} σύν^{p} ὁ^{ddfs} κατά^{p} οἶκος^{nams} αὐτός^{rpgmp} ἐκκλησία^{ndfs}. **v.20** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa\text{-}p}$ ὁ^{dnmp} ἀδελφός^{nnmp} πᾶς^{anmpn} ἀσπάζομαι^{vdad2p} ἀλλήλων^{reamp} ἐν^{p} φίλημα^{ndns} ἅγιος^{adnsn}. **v.21** ὁ^{dnms} ἀσπασμός^{nnms} ὁ^{ddfs} ἐμός^{rsdfs} χείρ^{ndfs} Παῦλος^{ngms}. **v.22** εἰ^{qo} τι-σρινμσ οὐ^{xo} φιλέω^{vipa3s} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} Χριστός^{nams} εἰμί^{vdpx3s} ἀνάθεμα^{nnns} μαράνα^{ta} μαράνα^{ta}. **v.23** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} σύ$^{rpg\text{-}p}$. **v.24** ὁ^{dnfs} ἀγάπη^{nnfs} ἐγώ$^{rpg\text{-}s}$ μετά^{p} πᾶς^{agmpn} σύ$^{rpg\text{-}p}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἀμήνth πρός^{p} Κορίνθιος^{aampn} πρῶτος^{anfsn} γράφω^{viap3s} ἀπό^{p} Φίλιπποι^{ngms} διά^{p} Στεφανᾶς^{ngms} καί^{c} Φορτουνᾶτος^{ngms} καί^{c} Ἀχαϊκός^{ngms} καί^{c} Τιμόθεος^{ngms}.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ καὶ **1**
Τιμόθεος ὁ ἀδελφός τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ
σὺν τοῖς ἁγίοις πᾶσιν τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ, χάρις ὑμῖν 2
καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ 3
ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως. ὁ πα- 4
ρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν εἰς τὸ δύνασθαι ἡμᾶς
παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως ἧς πα-
ρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ, ὅτι καθὼς περισσεύει τὰ 5
παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς οὕτως διὰ Χριστοῦ περισσεύει
καὶ ἡ παράκλησις ἡμῶν. εἴτε δὲ θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν 6
παρακλήσεως καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν
αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν εἴτε παρακαλούμεθα
ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, καὶ ἡ ἐλπὶς ἡμῶν
βεβαία ὑπὲρ ὑμῶν. εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν πα- 7
θημάτων οὕτως καὶ τῆς παρακλήσεως. Οὐ γὰρ θέλομεν ὑμᾶς 8
ἀγνοεῖν ἀδελφοί ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν
ἐν τῇ Ἀσίᾳ ὅτι καθ ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν ὥστε
ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν, ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀ- 9

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} θέλημα^{ngns} θεός^{ngms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} ὁ^{ddfs} ἐκκλησία^{ndfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{ddfs} εἰμί^{vppxdfs} ἐν^{p} Κόρινθος^{ndfs} σύν^{p} ὁ^{ddmp} ἅγιος^{admpn} πᾶς^{admpn} ὁ^{ddmp} εἰμί^{vppxdmp} ἐν^{p} ὅλος^{adfsn} ὁ^{ddfs} Ἀχαΐα^{ndfs}. **v.2** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.3** εὐλογητός^{anmsn} ὁ^{dnms} θεός^{nnms} καί^{c} πατήρ^{nnms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dnms} πατήρ^{nnms} ὁ^{dgmp} οἰκτιρμός^{ngmp} καί^{c} θεός^{nnms} πᾶς^{agfsn} παράκλησις^{ngfs}. **v.4** ὁ^{dnms} παρακαλέω^{vppanms} ἐγώ$^{rpa-p}$ ἐπί^{p} πᾶς^{adfsn} ὁ^{ddfs} θλῖψις^{ndfs} ἐγώ$^{rpg-p}$ εἰς^{p} ὁ^{dans} δύναμαι^{vnpn} ἐγώ$^{rpa-p}$ παρακαλέω^{vnpa} ὁ^{damp} ἐν^{p} πᾶς^{adfsn} θλῖψις^{ndfs} διά^{p} ὁ^{dgfs} παράκλησις^{ngfs} ὅς^{rrgfs} παρακαλέω^{vipp1p} αὐτός^{rpnmp} ὑπό^{p} ὁ^{dgms} θεός^{ngms}. **v.5** ὅτι^{c} καθώς^{bo} περισσεύω^{vipa3s} ὁ^{dnnp} πάθημα^{nnnp} ὁ^{dgms} Χριστός^{ngms} εἰς^{p} ἐγώ$^{rpa-p}$ οὕτω^{bo} διά^{p} Χριστός^{ngms} περισσεύω^{vipa3s} καί^{c} ὁ^{dnfs} παράκλησις^{nnfs} ἐγώ$^{rpg-p}$. **v.6** εἴτε^{c} δέ^{c} θλίβω^{vipp1p} ὑπέρ^{p} ὁ^{dgfs} σύ$^{rpg-p}$ παράκλησις^{ngfs} καί^{c} σωτηρία^{ngfs} ὁ^{dgfs} ἐνεργέω^{vppmgfs} ἐν^{p} ὑπομονή^{ndfs} ὁ^{dgnp} αὐτός^{rpgnp} πάθημα^{ngnp} ὅς^{rrgnp} καί^{c} ἐγώ$^{rpn-p}$ πάσχω^{vipa1p} εἴτε^{c} παρακαλέω^{vipp1p} ὑπέρ^{p} ὁ^{dgfs} σύ$^{rpg-p}$ παράκλησις^{ngfs} καί^{c} σωτηρία^{ngfs} καί^{c} ὁ^{dnfs} ἐλπίς^{nnfs} ἐγώ$^{rpg-p}$ βέβαιος^{anfsn} ὑπέρ^{p} σύ$^{rpg-p}$. **v.7** οἶδα^{vpxanmp} ὅτι^{c} ὥσπερ^{bo} κοινωνός^{anmpn} εἰμί^{vipx2p} ὁ^{dgnp} πάθημα^{ngnp} οὕτω^{bo} καί^{c} ὁ^{dgfs} παράκλησις^{ngfs}. **v.8** οὐ^{xo} γάρ^{c} θέλω^{vipa1p} σύ$^{rpa-p}$ ἀγνοέω^{vnpa} ἀδελφός^{nvmp} ὑπέρ^{p} ὁ^{dgfs} θλῖψις^{ngfs} ἐγώ$^{rpg-p}$ ὁ^{dgfs} γίνομαι^{vpadgfs} ἐγώ$^{rpd-p}$ ἐν^{p} ὁ^{ddfs} Ἀσία^{ndfs} ὅτι^{c} κατά^{p} ὑπερβολή^{nafs} βαρέω^{viap1p} ὑπέρ^{p} δύναμις^{nafs} ὥστε^{c} ἐξαπορέομαι^{vnap} ἐγώ$^{rpa-p}$ καί^{c} ὁ^{dgms} ζάω^{vnpa}.

πόκριμα τοῦ θανάτου ἐσχήκαμεν ἵνα μὴ πεποιθότες ὦμεν ἐφ
10 ἑαυτοῖς ἀλλ ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ τηλι-
κούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν
11 ὅτι καὶ ἔτι ῥύσεται. συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν
τῇ δεήσει ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ
12 πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. Ἡ γὰρ καύχησις ἡμῶν αὕτη
ἐστίν τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν ὅτι ἐν ἁπλότητι καὶ
εἰλικρινείᾳ θεοῦ οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀλλ ἐν χάριτι θεοῦ ἀ-
13 νεστράφημεν ἐν τῷ κόσμῳ περισσοτέρως δὲ πρὸς ὑμᾶς. οὐ
γὰρ ἄλλα γράφομεν ὑμῖν ἀλλ ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπιγινώ-
14 σκετε, ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε. καθὼς καὶ
ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους ὅτι καύχημα ὑμῶν ἐσμεν καθάπερ
15 καὶ ὑμεῖς ἡμῶν ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ. Καὶ ταύτῃ
τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν πρότερον ἵνα δευ-
16 τέραν χάριν ἔχῃτε, καὶ δι ὑμῶν διελθεῖν εἰς Μακεδονίαν καὶ
πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς καὶ ὑφ ὑμῶν προ-
17 πεμφθῆναι εἰς τὴν Ἰουδαίαν. τοῦτο οὖν βουλευόμενος μή τι
ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην ἢ ἃ βουλεύομαι κατὰ σάρκα βου-
18 λεύομαι ἵνα ᾖ παρ ἐμοὶ τὸ Ναὶ ναὶ καὶ τὸ Οὒ οὔ. πιστὸς δὲ ὁ
θεὸς ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο Ναὶ καὶ Οὔ.
19 ὁ γὰρ τοῦ θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς ὁ ἐν ὑμῖν δι ἡμῶν κη-
ρυχθείς δι ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου οὐκ ἐγένετο Ναὶ

---

v.9 ἀλλάᶜ αὐτόςʳᵖⁿᵐᵖ ἐνᵖ ἑαυτοῦʳˣᵈᵐᵖ ὁᵈᵃⁿˢ ἀπόκριμαⁿᵃⁿˢ ὁᵈᵍᵐˢ θάνατοςⁿᵍᵐˢ ἔχωᵛⁱˣᵃ¹ᵖ ἵναᶜ μήˣᵒ πείθωᵛᵖˣᵃⁿᵐᵖ εἰμίᵛˢᵖˣ¹ᵖ ἐπίᵖ ἑαυτοῦʳˣᵈᵐᵖ ἀλλάᶜ ἐπίᵖ ὁᵈᵈᵐˢ θεόςⁿᵈᵐˢ ὁᵈᵈᵐˢ ἐγείρωᵛᵖᵖᵃᵈᵐˢ ὁᵈᵃᵐᵖ νεκρόςᵃᵃᵐᵖⁿ. **v.10** ὅςʳʳⁿᵐˢ ἐκᵖ τηλικοῦτοςʳᵈᵍᵐˢ θάνατοςⁿᵍᵐˢ ῥύομαιᵛⁱᵃⁿ³ˢ ἐγώʳᵖᵃ⁻ᵖ καίᶜ ῥύομαιᵛⁱᵖⁿ³ˢ εἰςᵖ ὅςʳʳᵃᵐˢ ἐλπίζωᵛⁱˣᵃ¹ᵖ ὅτιᶜ καίᶜ ἔτιᵇᵒ ῥύομαιᵛⁱᶠᵈ³ˢ. **v.11** συνυπουργέωᵛᵖᵖᵃᵍᵐᵖ καίᶜ σύʳᵖᵍ⁻ᵖ ὑπέρᵖ ἐγώʳᵖᵍ⁻ᵖ ὁᵈᵈᶠˢ δέησιςⁿᵈᶠˢ ἵναᶜ ἐκᵖ πολύςᵃᵍⁿᵖⁿ πρόσωπονⁿᵍⁿᵖ ὁᵈⁿⁿˢ εἰςᵖ ἐγώʳᵖᵃ⁻ᵖ χάρισμαⁿⁿⁿˢ διάᵖ πολύςᵃᵍⁿᵖⁿ εὐχαριστέωᵛˢᵃᵖ³ˢ ὑπέρᵖ ἐγώʳᵖᵍ⁻ᵖ. **v.12** ὁᵈⁿᶠˢ γάρᶜ καύχησιςⁿⁿᶠˢ ἐγώʳᵖᵍ⁻ᵖ οὗτοςʳᵈⁿᶠˢ εἰμίᵛⁱᵖˣ³ˢ ὁᵈⁿⁿˢ μαρτύριονⁿⁿⁿˢ ὁᵈᵍᶠˢ συνείδησιςⁿᵍᶠˢ ἐγώʳᵖᵍ⁻ᵖ ὅτιᶜ ἐνᵖ ἁπλότηςⁿᵈᶠˢ καίᶜ εἰλικρίνειαⁿᵈᶠˢ θεόςⁿᵍᵐˢ οὐˣᵒ ἐνᵖ σοφίαⁿᵈᶠˢ σαρκικόςᵃᵈᶠˢⁿ ἀλλάᶜ ἐνᵖ χάρισⁿᵈᶠˢ θεόςⁿᵍᵐˢ ἀναστρέφωᵛⁱᵃᵖ¹ᵖ ἐνᵖ ὁᵈᵈᵐˢ κόσμοςⁿᵈᵐˢ περισσοτέρωςᵇᵒ δέᶜ πρόςᵖ σύʳᵖᵃ⁻ᵖ. **v.13** οὐˣᵒ γάρᶜ ἄλλοςᵃᵃⁿᵖⁿ γράφωᵛⁱᵖᵃ¹ᵖ σύʳᵖᵈ⁻ᵖ ἀλλάᶜ ἤˣᵒ ὅςʳʳⁿᵖ ἀναγινώσκωᵛⁱᵖᵃ²ᵖ ἤˣᵒ καίᶜ ἐπιγινώσκωᵛⁱᵖᵃ²ᵖ ἐλπίζωᵛⁱᵖᵃ¹ˢ δέᶜ ὅτιᶜ καίᶜ ἕωςᶜ τέλοςⁿᵍⁿˢ ἐπιγινώσκωᵛⁱᶠᵈ²ᵖ. **v.14** καθώςᵇᵒ καίᶜ ἐπιγινώσκωᵛⁱᵃᵃ²ᵖ ἐγώʳᵖᵃ⁻ᵖ ἀπόᵖ μέροςⁿᵍⁿˢ ὅτιᶜ καύχημαⁿⁿⁿˢ σύʳᵖᵍ⁻ᵖ εἰμίᵛⁱᵖˣ¹ᵖ καθάπερᵇᵒ καίᶜ σύʳᵖⁿ⁻ᵖ ἐγώʳᵖᵍ⁻ᵖ ἐνᵖ ὁᵈᵈᶠˢ ἡμέραⁿᵈᶠˢ ὁᵈᵍᵐˢ κύριοςⁿᵍᵐˢ Ἰησοῦςⁿᵍᵐˢ. **v.15** καίᶜ οὗτοςʳᵈᵈᶠˢ ὁᵈᵈᶠˢ πεποίθησιςⁿᵈᶠˢ βούλομαιᵛⁱⁱⁿ¹ˢ πρόςᵖ σύʳᵖᵃ⁻ᵖ ἔρχομαιᵛⁿᵃᵃ πρότεροςᵇᵒ ἵναᶜ δεύτεροςᵃᵃᶠˢⁿ χάρινᵃᶠˢ ἔχωᵛˢᵖᵃ²ᵖ. **v.16** καίᶜ διάᵖ σύʳᵖᵍ⁻ᵖ διέρχομαιᵛⁿᵃᵃ εἰςᵖ Μακεδονίαⁿᵃᶠˢ καίᶜ πάλινᵇᵒ ἀπόᵖ Μακεδονίαⁿᵍᶠˢ ἔρχομαιᵛⁿᵃᵃ πρόςᵖ σύʳᵖᵃ⁻ᵖ καίᶜ ὑπόᵖ σύʳᵖᵍ⁻ᵖ προπέμπωᵛⁿᵃᵖ εἰςᵖ ὁᵈᵃᶠˢ Ἰουδαίαⁿᵃᶠˢ. **v.17** οὗτοςʳᵈᵃⁿˢ οὖνᶜ βουλεύομαιᵛᵖᵖⁿⁿᵐˢ μήˣᵒ τίςʳⁱᵃⁿˢ ἄραˣᵒ ὁᵈᵈᶠˢ ἐλαφρίαⁿᵈᶠˢ χράομαιᵛⁱᵃᵈ¹ˢ ἤˣᵒ ὅςʳʳⁿᵖ βουλεύομαιᵛⁱᵖⁿ¹ˢ κατάᵖ σάρξⁿᵃᶠˢ βουλεύομαιᵛⁱᵖⁿ¹ˢ ἵναᶜ εἰμίᵛˢᵖˣ³ˢ παράᵖ ἐγώʳᵖᵈ⁻ˢ ὁᵈⁿⁿˢ ναίˣᵒ ναίˣᵒ καίᶜ ὁᵈⁿⁿˢ οὐˣᵒ οὐˣᵒ. **v.18** πιστόςᵃⁿᵐˢⁿ δέᶜ ὁᵈⁿᵐˢ θεόςⁿⁿᵐˢ ὅτιᶜ ὁᵈⁿᵐˢ λόγοςⁿⁿᵐˢ ἐγώʳᵖᵍ⁻ᵖ ὁᵈⁿᵐˢ πρόςᵖ σύʳᵖᵃ⁻ᵖ οὐˣᵒ γίνομαιᵛⁱᵃᵈ³ˢ ναίˣᵒ καίᶜ οὐˣᵒ.

καὶ Οὔ ἀλλὰ Ναὶ ἐν αὐτῷ γέγονεν. ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ 20
ἐν αὐτῷ τὸ Ναί, καὶ ἐν αὐτῷ τὸ Ἀμὴν τῷ θεῷ πρὸς δόξαν δι' ἡ-
μῶν. ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς 21
θεός. ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ 22
πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. Ἐγὼ δὲ μάρτυρα τὸν θεὸν 23
ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν ὅτι φειδόμενος ὑμῶν οὐκέτι
ἦλθον εἰς Κόρινθον. οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως 24
ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, τῇ γὰρ πίστει ἑστήκατε.

ἔκρινα δὲ ἐμαυτῷ τοῦτο τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς **2**
ὑμᾶς. εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς καὶ τίς ἐστιν ὁ εὐφραίνων με εἰ 2
μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ. καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτὸ ἵνα μὴ 3
ἐλθὼν λύπην ἔχω ἀφ ὧν ἔδει με χαίρειν πεποιθὼς ἐπὶ πάντας
ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν. ἐκ γὰρ πολλῆς θλί- 4
ψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων
οὐχ ἵνα λυπηθῆτε ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσο-
τέρως εἰς ὑμᾶς. Εἰ δέ τις λελύπηκεν οὐκ ἐμὲ λελύπηκεν ἀλ'λ 5
ἀπὸ μέρους ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς. ἱκανὸν τῷ τοιούτῳ 6
ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. ὥστε τοὐναντίον μᾶλ- 7
λον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι μήπως τῇ περισσοτέρᾳ
λύπῃ καταποθῇ ὁ τοιοῦτος. διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς 8

---

v.19 ὁ^{dnms} γάρ^{c} ὁ^{dgms} θεός^{ngms} υἱός^{nnms} Ἰησοῦς^{nnms} Χριστός^{nnms} ὁ^{dnms} ἐν^{p} σύ$^{rpd-p}$ διά^{p} ἐγώ$^{rpg-p}$ κηρύσσω^{vpapnms} διά^{p} ἐγώ$^{rpg-s}$ καί^{c} Σιλουανός^{ngms} καί^{c} Τιμόθεος^{ngms} οὐ^{xo} γίνομαι^{viad3s} ναί^{xo} καί^{c} οὐ^{xo} ἀλλά^{c} ναί^{xo} ἐν^{p} αὐτός^{rpdms} γίνομαι^{vixa3s}. **v.20** ὅσος^{rcnfp} γάρ^{c} ἐπαγγελία^{nnfp} θεός^{ngms} ἐν^{p} αὐτός^{rpdms} ὁ^{dnns} ναί^{xo} καί^{c} ἐν^{p} αὐτός^{rpdms} ὁ^{dnns} ἀμήνth ὁ^{ddms} θεός^{ndms} πρός^{p} δόξα^{nafs} διά^{p} ἐγώ$^{rpg-p}$. **v.21** ὁ^{dnms} δέ^{c} βεβαιόω^{vppanms} ἐγώ$^{rpa-p}$ σύν^{p} σύ$^{rpd-p}$ εἰς^{p} Χριστός^{nams} καί^{c} χρίω^{vpaanms} ἐγώ$^{rpa-p}$ θεός^{nnms}. **v.22** ὁ^{dnms} καί^{c} σφραγίζω^{vpamnms} ἐγώ$^{rpa-p}$ καί^{c} δίδωμι^{vpaanms} ὁ^{dams} ἀρραβών^{nams} ὁ^{dgns} πνεῦμα^{ngns} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} ἐγώ$^{rpg-p}$. **v.23** ἐγώ$^{rpn-s}$ δέ^{c} μάρτυς^{nams} ὁ^{dams} θεός^{nams} ἐπικαλέω^{vipm1s} ἐπί^{p} ὁ^{dafs} ἐμός^{rsafs} ψυχή^{nafs} ὅτι^{c} φείδομαι^{vppnnms} σύ$^{rpg-p}$ οὐκέτι^{bo} ἔρχομαι^{viaa1s} εἰς^{p} Κόρινθος^{nafs}. **v.24** οὐ^{xo} ὅτι^{c} κυριεύω^{vipa1p} σύ$^{rpg-p}$ ὁ^{dgfs} πίστις^{ngfs} ἀλλά^{c} συνεργός^{anmpn} εἰμί^{vipx1p} ὁ^{dgfs} χαρά^{ngfs} σύ$^{rpg-p}$ ὁ^{ddfs} γάρ^{c} πίστις^{ndfs} ἵστημι^{vixa2p}. **2. v.1** κρίνω^{viaa1s} δέ^{c} ἐμαυτοῦ^{rxdms} οὗτος^{rdans} ὁ^{dans} μή^{xo} πάλιν^{bo} ἔρχομαι^{vnaa} ἐν^{p} λύπη^{ndfs} πρός^{p} σύ$^{rpa-p}$. **v.2** εἰ^{qo} γάρ^{c} ἐγώ$^{rpn-s}$ λυπέω^{vipa1s} σύ$^{rpa-p}$ καί^{c} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} εὐφραίνω^{vppanms} ἐγώ$^{rpa-s}$ εἰ^{qo} μή^{xo} ὁ^{dnms} λυπέω^{vppnnms} ἐκ^{p} ἐγώ$^{rpg-s}$. **v.3** καί^{c} γράφω^{viaa1s} σύ$^{rpd-p}$ οὗτος^{rdans} αὐτός^{rpans} ἵνα^{c} μή^{xo} ἔρχομαι^{vpaanms} λύπη^{nafs} ἔχω^{vspa1s} ἀπό^{p} ὅς^{rrgmp} δεῖ^{viiq3s} ἐγώ$^{rpa-s}$ χαίρω^{vnpa} πείθω^{vpxanms} ἐπί^{p} πᾶς^{aampn} σύ$^{rpa-p}$ ὅτι^{c} ὁ^{dnfs} ἐμός^{rsnfs} χαρά^{nnfs} πᾶς^{agmpn} σύ$^{rpg-p}$ εἰμί^{vipx3s}. **v.4** ἐκ^{p} γάρ^{c} πολύς^{agfsn} θλῖψις^{ngfs} καί^{c} συνοχή^{ngfs} καρδία^{ngfs} γράφω^{viaa1s} σύ$^{rpd-p}$ διά^{p} πολύς^{agnpn} δάκρυον^{ngnp} οὐ^{xo} ἵνα^{c} λυπέω^{vsap2p} ἀλλά^{c} ὁ^{dafs} ἀγάπη^{nafs} ἵνα^{c} γινώσκω^{vsaa2p} ὅς^{rrafs} ἔχω^{vipa1s} περισσοτέρως^{bo} εἰς^{p} σύ$^{rpa-p}$. **v.5** εἰ^{qo} δέ^{c} τι-σρινμσ λυπέω^{vixa3s} οὐ^{xo} ἐγώ$^{rpa-s}$ λυπέω^{vixa3s} ἀλλά^{c} ἀπό^{p} μέρος^{ngns} ἵνα^{c} μή^{xo} ἐπιβαρέω^{vspa1s} πᾶς^{aampn} σύ$^{rpa-p}$. **v.6** ἱκανός^{annsn} ὁ^{ddms} τοιοῦτος^{rddms} ὁ^{dnfs} ἐπιτιμία^{nnfs} οὗτος^{rdnfs} ὁ^{dnfs} ὑπό^{p} ὁ^{dgmp} πολύς^{agmpc}. **v.7** ὥστε^{c} ἐναντίον^{bo} μᾶλλον^{bo} σύ$^{rpa-p}$ χαρίζομαι^{vnad} καί^{c} παρακαλέω^{vnaa} μή&πώς^{c} ὁ^{ddfs} περισσός^{adfsc} λύπη^{ndfs} καταπίνω^{vsap3s} ὁ^{dnms} τοιοῦτος^{rdnms}.

αὐτὸν ἀγάπην, εἰς τοῦτο γὰρ καὶ ἔγραψα ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν εἰ εἰς πάντα ὑπήκοοί ἐστε. ᾧ δέ τι χαρίζεσθε καὶ ἐγὼ καὶ γὰρ ἐγώ, εἴ τι κεχάρισμαι ᾧ κεχάρισμαι δι᾽ ὑμᾶς ἐν προσώπῳ Χριστοῦ. ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ, οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ θύρας μοι ἀνεῳγμένης ἐν κυρίῳ. οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον εἰς Μακεδονίαν. Τῷ δὲ θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις. οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν καὶ πρὸς ταῦτα τίς ἱκανός. οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ ἀλλ᾽ ὡς ἐξ εἰλικρινείας ἀλλ᾽ ὡς ἐκ θεοῦ κατενώπιον τοῦ θεοῦ ἐν Χριστῷ λαλοῦμεν.

3 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν εἰ μὴ χρῄζομεν ὥς τινες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς ἢ ἐξ ὑμῶν συστατικῶν. ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων. φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ᾽ ἡμῶν ἐγγεγραμμένη οὐ μέλανι ἀλλὰ πνεύματι θεοῦ ζῶντος

---

v.8 διό^{c} παρακαλέω^{vipa1s} σύ$^{rpa-p}$ κυρόω^{vnaa} εἰς^{p} αὐτός^{rpams} ἀγάπη^{nafs}. **v.9** εἰς^{p} οὗτος^{rdans} γάρ^{c} καί^{c} γράφω^{viaa1s} ἵνα^{c} γινώσκω^{vsaa1s} ὁ^{dafs} δοκιμή^{nafs} σύ$^{rpg-p}$ εἰ^{qo} εἰς^{p} πᾶς^{aanpn} ὑπήκοος^{anmpn} εἰμί^{vipx2p}. **v.10** ὅς^{rrdms} δέ^{c} τι-σριανσ χαρίζομαι^{vipn2p} καί^{c} ἐγώ$^{rpn-s}$ καί^{c} γάρ^{c} ἐγώ$^{rpn-s}$ εἰ^{qo} τι-σριανσ χαρίζομαι^{vixn1s} ὅς^{rrdms} χαρίζομαι^{vixn1s} διά^{p} σύ$^{rpa-p}$ ἐν^{p} πρόσωπον^{ndns} Χριστός^{ngms}. **v.11** ἵνα^{c} μή^{xo} πλεονεκτέω^{vsap1p} ὑπό^{p} ὁ^{dgms} Σατανᾶς^{ngms} οὐ^{xo} γάρ^{c} αὐτός^{rpgms} ὁ^{danp} νόημα^{nanp} ἀγνοέω^{vipa1p}. **v.12** ἔρχομαι^{vpaanms} δέ^{c} εἰς^{p} ὁ^{dafs} Τρῳάς^{nafs} εἰς^{p} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgms} Χριστός^{ngms} καί^{c} θύρα^{ngfs} ἐγώ$^{rpd-s}$ ἀνοίγω^{vpxpgfs} ἐν^{p} κύριος^{ndms}. **v.13** οὐ^{xo} ἔχω^{vixa1s} ἄνεσις^{nafs} ὁ^{ddns} πνεῦμα^{ndns} ἐγώ$^{rpg-s}$ ὁ^{ddms} μή^{xo} εὑρίσκω^{vnaa} ἐγώ$^{rpa-s}$ Τίτος^{nams} ὁ^{dams} ἀδελφός^{nams} ἐγώ$^{rpg-s}$ ἀλλά^{c} ἀποτάσσω^{vpamnms} αὐτός^{rpdmp} ἐξέρχομαι^{viaa1s} εἰς^{p} Μακεδονία^{nafs}. **v.14** ὁ^{ddms} δέ^{c} θεός^{ndms} χάρις^{nnfs} ὁ^{ddms} πάντοτε^{bo} θριαμβεύω^{vppadms} ἐγώ$^{rpa-p}$ ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms} καί^{c} ὁ^{dafs} ὀσμή^{nafs} ὁ^{dgfs} γνῶσις^{ngfs} αὐτός^{rpgms} φανερόω^{vppadms} διά^{p} ἐγώ$^{rpg-p}$ ἐν^{p} πᾶς^{admsn} τόπος^{ndms}. **v.15** ὅτι^{c} Χριστός^{ngms} εὐωδία^{nnfs} εἰμί^{vipx1p} ὁ^{ddms} θεός^{ndms} ἐν^{p} ὁ^{ddmp} σῴζω^{vpppdmp} καί^{c} ἐν^{p} ὁ^{ddmp} ἀπόλλυμι^{vppedmp}. **v.16** ὅς^{rrdmp} μέν^{xo} ὀσμή^{nnfs} θάνατος^{ngms} εἰς^{p} θάνατος^{nams} ὅς^{rrdmp} δέ^{c} ὀσμή^{nnfs} ζωή^{ngfs} εἰς^{p} ζωή^{nafs} καί^{c} πρός^{p} οὗτος^{rdanp} τίς^{rqnms} ἱκανός^{anmsn}. **v.17** οὐ^{xo} γάρ^{c} εἰμί^{vipx1p} ὡς^{bo} ὁ^{dnmp} πολύς^{anmpn} καπηλεύω^{vppanmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} ἀλλά^{c} ὡς^{bo} ἐκ^{p} εἰλικρίνεια^{ngfs} ἀλλά^{c} ὡς^{bo} ἐκ^{p} θεός^{ngms} κατενώπιον^{p} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} Χριστός^{ndms} λαλέω^{vipa1p}. **3. v.1** ἄρχω^{vipm1p} πάλιν^{bo} ἑαυτοῦ^{rxamp} συνίστημι^{vnpa} εἰ^{qo} μή^{xo} χρῄζω^{vipa1p} ὡς^{bo} τι-σρινμπ συστατικός^{agmpn} ἐπιστολή^{ngfp} πρός^{p} σύ$^{rpa-p}$ ἤ^{xo} ἐκ^{p} σύ$^{rpg-p}$ συστατικός^{agmpn}. **v.2** ὁ^{dnfs} ἐπιστολή^{nnfs} ἐγώ$^{rpg-p}$ σύ$^{rpn-p}$ εἰμί^{vipx2p} ἐγγράφω^{vpxpnfs} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} ἐγώ$^{rpg-p}$ γινώσκω^{vpppnfs} καί^{c} ἀναγινώσκω^{vpppnfs} ὑπό^{p} πᾶς^{agmpn} ἄνθρωπος^{ngmp}.

οὐκ ἐν πλαξὶν λιθίναις ἀλλ ἐν πλαξὶν καρδίας σαρκίναις. Πε- 4
ποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν θεόν.
οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν 5
ἀλλ ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ. ὃς καὶ ἱκάνωσεν ἡμᾶς 6
διακόνους καινῆς διαθήκης οὐ γράμματος ἀλλὰ πνεύματος,
τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζῳοποιεῖ. Εἰ δὲ ἡ 7
διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐ-
γενήθη ἐν δόξῃ ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ
εἰς τὸ πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ
τὴν καταργουμένην. πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύ- 8
ματος ἔσται ἐν δόξῃ. εἰ γὰρ ἡ διακονίᾳ τῆς κατακρίσεως δόξα 9
πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ.
καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει 10
ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. εἰ γὰρ τὸ καταργούμενον 11
διὰ δόξης πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ. Ἔχοντες οὖν τοι- 12
αύτην ἐλπίδα πολλῇ παρρησίᾳ χρώμεθα. καὶ οὐ καθάπερ 13
Μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς τὸ μὴ
ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου.
ἀλ᾽λ ἐπωρώθη τὰ νοήματα αὐτῶν ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ 14
κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει μὴ ἀ-
νακαλυπτόμενον ὅ τι ἐν Χριστῷ καταργεῖται, ἀλλ ἕως σήμερον 15

---

v.3 φανερόω^{vpppnmp} ὅτι^{c} εἰμί^{vipx2p} ἐπιστολή^{nnfs} Χριστός^{ngms} διακονέω^{vpapnfs} ὑπό^{p} ἐγώ$^{rpg\text{-}p}$ ἐγγράφω^{vpxpnfs} οὐ^{xo} μέλας^{adnsn} ἀλλά^{c} πνεῦμα^{ndns} θεός^{ngms} ζάω^{vppagms} οὐ^{xo} ἐν^{p} πλάξ^{ndfp} λίθινος^{adfpn} ἀλλά^{c} ἐν^{p} πλάξ^{ndfp} καρδία^{ngfs} σάρκινος^{adfpn}. **v.4** πεποίθησις^{nafs} δέ^{c} τοιοῦτος^{rdafs} ἔχω^{vipa1p} διά^{p} ὁ^{dgms} Χριστός^{ngms} πρός^{p} ὁ^{dams} θεός^{nams}. **v.5** οὐ^{xo} ὅτι^{c} ἱκανός^{anmpn} εἰμί^{vipx1p} ἀπό^{p} ἑαυτοῦ^{rxgmp} λογίζομαι^{vnad} τι-σριανσ ὡς^{bo} ἐκ^{p} ἑαυτοῦ^{rxgmp} ἀλλά^{c} ὁ^{dnfs} ἱκανότης^{nnfs} ἐγώ$^{rpg\text{-}p}$ ἐκ^{p} ὁ^{dgms} θεός^{ngms}. **v.6** ὅς^{rrnms} καί^{c} ἱκανόω^{viaa3s} ἐγώ$^{rpa\text{-}p}$ διάκονος^{namp} καινός^{agfsn} διαθήκη^{ngfs} οὐ^{xo} γράμμα^{ngns} ἀλλά^{c} πνεῦμα^{ngns} ὁ^{dnns} γάρ^{c} γράμμα^{nnns} ἀποκτείνω^{vipa3s} ὁ^{dnns} δέ^{c} πνεῦμα^{nnns} ζῳοποιέω^{vipa3s}. **v.7** εἰ^{qo} δέ^{c} ὁ^{dnfs} διακονία^{nnfs} ὁ^{dgms} θάνατος^{ngms} ἐν^{p} γράμμα^{ndnp} ἐντυπόω^{vpxpnfs} ἐν^{p} λίθος^{ndmp} γίνομαι^{viao3s} ἐν^{p} δόξα^{ndfs} ὥστε^{c} μή^{xo} δύναμαι^{vnpn} ἀτενίζω^{vnaa} ὁ^{damp} υἱός^{namp} Ἰσραήλ^{tp} εἰς^{p} ὁ^{dans} πρόσωπον^{nans} Μωϋσῆς^{ngms} διά^{p} ὁ^{dafs} δόξα^{nafs} ὁ^{dgns} πρόσωπον^{ngns} αὐτός^{rpgms} ὁ^{dafs} καταργέω^{vpppafs}. **v.8** πῶς^{bo} οὐχί^{xo} μᾶλλον^{bo} ὁ^{dnfs} διακονία^{nnfs} ὁ^{dgns} πνεῦμα^{ngns} εἰμί^{vifx3s} ἐν^{p} δόξα^{ndfs}. **v.9** εἰ^{qo} γάρ^{c} ὁ^{dnfs} διακονία^{nnfs} ὁ^{dgfs} κατάκρισις^{ngfs} δόξα^{nnfs} πολύς^{admsn} μᾶλλον^{bo} περισσεύω^{vipa3s} ὁ^{dnfs} διακονία^{nnfs} ὁ^{dgfs} δικαιοσύνη^{ngfs} ἐν^{p} δόξα^{ndfs}. **v.10** καί^{c} γάρ^{c} οὐδέ^{bo} δοξάζω^{vixp3s} ὁ^{dnns} δοξάζω^{vpxpnns} ἐν^{p} οὗτος^{rddns} ὁ^{ddns} μέρος^{ndns} ἕνεκα^{bo} ὁ^{dgfs} ὑπερβάλλω^{vppagfs} δόξα^{ngfs}. **v.11** εἰ^{qo} γάρ^{c} ὁ^{dnns} καταργέω^{vpppnns} διά^{p} δόξα^{ngfs} πολύς^{admsn} μᾶλλον^{bo} ὁ^{dnns} μένω^{vppanns} ἐν^{p} δόξα^{ndfs}. **v.12** ἔχω^{vppanmp} οὖν^{c} τοιοῦτος^{rdafs} ἐλπίς^{nafs} πολύς^{adfsn} παρρησία^{ndfs} χράομαι^{vipn1p}. **v.13** καί^{c} οὐ^{xo} καθάπερ^{bo} Μωϋσῆς^{nnms} τίθημι^{viia3s} κάλυμμα^{nans} ἐπί^{p} ὁ^{dans} πρόσωπον^{nans} ἑαυτοῦ^{rxgms} πρός^{p} ὁ^{dans} μή^{xo} ἀτενίζω^{vnaa} ὁ^{damp} υἱός^{namp} Ἰσραήλ^{tp} εἰς^{p} ὁ^{dans} τέλος^{nans} ὁ^{dgns} καταργέω^{vpppgns}. **v.14** ἀλλά^{c} πωρόω^{viap3s} ὁ^{dnnp} νόημα^{nnnp} αὐτός^{rpgmp} ἄχρι^{p} γάρ^{c} ὁ^{dgfs} σήμερον^{bo} ὁ^{dnns} αὐτός^{rpnns} κάλυμμα^{nnns} ἐπί^{p} ὁ^{ddfs} ἀνάγνωσις^{ndfs} ὁ^{dgfs} παλαιός^{agfsn} διαθήκη^{ngfs} μένω^{vipa3s} μή^{xo} ἀνακαλύπτω^{vpppnns} ὅς^{rrans} τίς^{rinns} ἐν^{p} Χριστός^{ndms} καταργέω^{vipp3s}.

ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν
16 κεῖται, ἡνίκα δ᾽ ἂν ἐπιστρέψῃ πρὸς κύριον περιαιρεῖται τὸ κά-
17 λυμμα. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν, οὗ δὲ τὸ πνεῦμα κυρίου
18 ἐκεῖ ἐλευθερία. ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ
τὴν δόξαν κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορ-
φούμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ κυρίου πνεύματος.

4 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην καθὼς ἠλεήθημεν
2 οὐκ ἐκκακοῦμεν, ἀλ᾽λ ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης
μὴ περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες τὸν λόγον τοῦ
θεοῦ ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς
3 πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ θεοῦ. εἰ δὲ
καὶ ἔστιν κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν ἐν τοῖς ἀπολλυ-
4 μένοις ἐστὶν κεκαλυμμένον. ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου
ἐτύφλωσεν τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς
τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ ὅς ἐστιν
5 εἰκὼν τοῦ θεοῦ. οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν ἀλλὰ Χριστὸν
6 Ἰησοῦν κύριον ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. ὅτι ὁ
θεὸς ὁ εἰπών Ἐκ σκότους φῶς λάμψαι ὃς ἔλαμψεν ἐν ταῖς καρ-
δίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν
7 προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον
ἐν ὀστρακίνοις σκεύεσιν ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ

---

v.15 ἀλλάc ἕωςc σήμερονbo ἡνίκαbo ἀναγινώσκωvipp3s Μωϋσῆςnnms κάλυμμαnnns ἐπίp ὁdafs καρδίανafs αὐτόςrpgmp κεῖταιvipn3s. **v.16** ἡνίκαbo δέc ἂνxo ἐπιστρέφωvsaa3s πρόςp κύριοςnams περιαιρέωvipp3s ὁdnns κάλυμμαnnns. **v.17** ὁdnms δέc κύριοςnnms ὁdnns πνεῦμαnnns εἰμίvipx3s ὅςbo δέc ὁdnns πνεῦμαnnns κύριοςngms ἐκεῖbo ἐλευθερίαnnfs. **v.18** ἐγώrpn-p δέc πᾶςannmpn ἀνακαλύπτωvpxpdns πρόσωπονndns ὁdafs δόξαnafs κύριοςngms κατοπτρίζωvppmnmp ὁdafs αὐτόςrpafs εἰκόνnafs μεταμορφόωvipp1p ἀπόp δόξαngfs εἰςp δόξαnafs καθάπερbo ἀπόp κύριοςngms πνεῦμαngns. **4. v.1** διάp οὗτοςrdans ἔχωvppanmp ὁdafs διακονίαnafs οὗτοςrdafs καθώςbo ἐλεέωviap1p οὐxo ἐγκακέωvipa1p. **v.2** ἀλλάc ἀπογορεύωviam1p ὁdanp κρυπτόςaanpn ὁdgfs αἰσχύνηngfs μὴxo περιπατέωvppanmp ἐνp πανουργίαndfs μηδέc δολόωvppanmp ὁdams λόγοςnams ὁdgms θεόςngms ἀλλάc ὁddfs φανέρωσιςndfs ὁdgfs ἀλήθειαngfs συνίστημιvppanmp ἑαυτοῦrxamp πρόςp πᾶςaafsn συνείδησιςnafs ἀνθρωποςngmp ἐνώπιονbo ὁdgms θεόςngms. **v.3** εἰqo δέc καίc εἰμίvipx3s καλύπτωvpxpnns ὁdnns εὐαγγέλιονnnns ἐγώrpg-p ἐνp ὁddmp ἀπόλλυμιvppedmp εἰμίvipx3s καλύπτωvpxpnns. **v.4** ἐνp ὅςrrdmp ὁdnms θεόςnnms ὁdgms αἰώνngms οὗτοςrdgms τυφλόωviaa3s ὁdanp νόημαnanp ὁdgmp ἄπιστοςagmpn εἰςp ὁdans μὴxo αὐγάζωvnaa αὐτόςrpdmp ὁdams φωτισμόςnams ὁdgns εὐαγγέλιονngns ὁdgfs δόξαngfs ὁdgms Χριστόςngms ὅςrrnms εἰμίvipx3s εἰκώνnnfs ὁdgms θεόςngms. **v.5** οὐxo γάρc ἑαυτοῦrxamp κηρύσσωvipa1p ἀλλάc Χριστόςnams Ἰησοῦςnams κύριοςnams ἑαυτοῦrxamp δέc δοῦλοςnamp σύrpg-p διάp Ἰησοῦςnams. **v.6** ὅτιc ὁdnms θεόςnnms ὁdnms λέγωvpaanms ἐκp σκότοςngns φῶςnans λάμπωvnaa ὅςrrnms λάμπωviaa3s ἐνp ὁddfp καρδίανdfp ἐγώrpg-p πρόςp φωτισμόςnams ὁdgfs γνῶσιςngfs ὁdgfs δόξαngfs ὁdgms θεόςngms ἐνp πρόσωπονndns Ἰησοῦςngms Χριστόςngms.

θεοῦ καὶ μὴ ἐξ ἡμῶν, ἐν παντὶ θλιβόμενοι ἀλλ οὐ στενοχωρού- 8
μενοι ἀπορούμενοι ἀλλ οὐκ ἐξαπορούμενοι. διωκόμενοι ἀλλ 9
οὐκ ἐγκαταλειπόμενοι καταβαλλόμενοι ἀλλ οὐκ ἀπολλύμενοι.
πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέ- 10
ροντες ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.
ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν 11
ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.
ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται ἡ δὲ ζωὴ ἐν ὑμῖν. ἔ- 12, 13
χοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον
Ἐπίστευσα διὸ ἐλάλησα καὶ ἡμεῖς πιστεύομεν διὸ καὶ λαλοῦ-
μεν. εἰδότες ὅτι ὁ ἐγείρας τὸν κύριον Ἰησοῦν καὶ ἡμᾶς διὰ 14
Ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. τὰ γὰρ πάντα δι᾽ ὑ- 15
μᾶς ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν
περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ. Διὸ οὐκ ἐκκακοῦμεν, ἀλλ 16
εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται ἀλλ ὁ ἔσωθεν ἀνα-
καινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς 17
θλίψεως ἡμῶν καθ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος
δόξης κατεργάζεται ἡμῖν. μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα 18
ἀλλὰ τὰ μὴ βλεπόμενα, τὰ γὰρ βλεπόμενα πρόσκαιρα τὰ δὲ μὴ
βλεπόμενα αἰώνια.

Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους **5**
καταλυθῇ οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν οἰκίαν ἀχειροποίητον αἰ-

---

v.7 ἔχω^{vipa1p} δέ^{c} ὁ^{dams} θησαυρός^{nams} οὗτος^{rdams} ἐν^{p} ὀστράκινος^{adnpn} σκεῦος^{ndnp} ἵνα^{c} ὁ^{dnfs} ὑπερβολή^{nnfs} ὁ^{dgfs} δύναμις^{ngfs} εἰμί^{vspx3s} ὁ^{dgms} θεός^{ngms} καί^{c} μή^{xo} ἐκ^{p} ἐγώ$^{rpg-p}$. **v.8** ἐν^{p} πᾶς^{admsn} θλίβω^{vpppnmp} ἀλλά^{c} οὐ^{xo} στενοχωρέω^{vpppnmp} ἀπορέω^{vppmnmp} ἀλλά^{c} οὐ^{xo} ἐξαπορέομαι^{vppnnmp}. **v.9** διώκω^{vpppnmp} ἀλλά^{c} οὐ^{xo} ἐγκαταλείπω^{vpppnmp} καταβάλλω^{vpppnmp} ἀλλά^{c} οὐ^{xo} ἀπόλλυμι^{vppenmp}. **v.10** πάντοτε^{bo} ὁ^{dafs} νέκρωσις^{nafs} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} ἐν^{p} ὁ^{ddns} σῶμα^{ndns} περιφέρω^{vppanmp} ἵνα^{c} καί^{c} ὁ^{dnfs} ζωή^{nnfs} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἐν^{p} ὁ^{ddns} σῶμα^{ndns} ἐγώ$^{rpg-p}$ φανερόω^{vsap3s}. **v.11** ἀεί^{bo} γάρ^{c} ἐγώ$^{rpn-p}$ ὁ^{dnmp} ζάω^{vppanmp} εἰς^{p} θάνατος^{nams} παραδίδωμι^{vipp1p} διά^{p} Ἰησοῦς^{nams} ἵνα^{c} καί^{c} ὁ^{dnfs} ζωή^{nnfs} ὁ^{dgms} Ἰησοῦς^{ngms} φανερόω^{vsap3s} ἐν^{p} ὁ^{ddfs} θνητός^{adfsn} σάρξ^{ndfs} ἐγώ$^{rpg-p}$. **v.12** ὥστε^{c} ὁ^{dnms} μέν^{xo} θάνατος^{nnms} ἐν^{p} ἐγώ$^{rpd-p}$ ἐνεργέω^{vipm3s} ὁ^{dnfs} δέ^{c} ζωή^{nnfs} ἐν^{p} σύ$^{rpd-p}$. **v.13** ἔχω^{vppanmp} δέ^{c} ὁ^{dans} αὐτός^{rpans} πνεῦμα^{nans} ὁ^{dgfs} πίστις^{ngfs} κατά^{p} ὁ^{dans} γράφω^{vpxpans} πιστεύω^{viaa1s} διό^{c} λαλέω^{viaa1s} καί^{c} ἐγώ$^{rpn-p}$ πιστεύω^{vipa1p} διό^{c} καί^{c} λαλέω^{vipa1p}. **v.14** οἶδα^{vpxanmp} ὅτι^{c} ὁ^{dnms} ἐγείρω^{vpaanms} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} καί^{c} ἐγώ$^{rpa-p}$ διά^{p} Ἰησοῦς^{ngms} ἐγείρω^{vifa3s} καί^{c} παρίστημι^{vifa3s} σύν^{p} σύ$^{rpd-p}$. **v.15** ὁ^{dnnp} γάρ^{c} πᾶς^{annpn} διά^{p} σύ$^{rpa-p}$ ἵνα^{c} ὁ^{dnfs} χάρις^{nnfs} πλεονάζω^{vpaanfs} διά^{p} ὁ^{dgnp} πολύς^{agnpc} ὁ^{dafs} εὐχαριστία^{nafs} περισσεύω^{vsaa3s} εἰς^{p} ὁ^{dafs} δόξα^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.16** διό^{c} οὐ^{xo} ἐγκακέω^{vipa1p} ἀλλά^{c} εἰ^{qo} καί^{c} ὁ^{dnms} ἔξω^{bo} ἐγώ$^{rpg-p}$ ἄνθρωπος^{nnms} διαφθείρω^{vipp3s} ἀλλά^{c} ὁ^{dnms} ἔσωθεν^{bo} ἀνακαινόω^{vipp3s} ἡμέρα^{ndfs} καί^{c} ἡμέρα^{ndfs}. **v.17** ὁ^{dnns} γάρ^{c} παραυτίκα^{bo} ἐλαφρός^{annsn} ὁ^{dgfs} θλῖψις^{ngfs} ἐγώ$^{rpg-p}$ κατά^{p} ὑπερβολή^{nafs} εἰς^{p} ὑπερβολή^{nafs} αἰώνιος^{aansn} βάρος^{nans} δόξα^{ngfs} κατεργάζομαι^{vipn3s} ἐγώ$^{rpd-p}$. **v.18** μή^{xo} σκοπέω^{vppagmp} ἐγώ$^{rpg-p}$ ὁ^{danp} βλέπω^{vpppanp} ἀλλά^{c} ὁ^{danp} μή^{xo} βλέπω^{vpppanp} ὁ^{dnnp} γάρ^{c} βλέπω^{vpppnnp} πρόσκαιρος^{annpn} ὁ^{dnnp} δέ^{c} μή^{xo} βλέπω^{vpppnnp} αἰώνιος^{annpn}.

ὠνιον ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ ἐν τούτῳ στενάζομεν τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. εἴγε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα. καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι ἐπειδὴ οὐ θέλομεν ἐκδύσασθαι ἀλλ ἐπενδύσασθαι ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο θεός ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος. Θαρροῦντες οὖν πάντοτε καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου, διὰ πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους, θαρροῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. διὸ καὶ φιλοτιμούμεθα εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες εὐάρεστοι αὐτῷ εἶναι. τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε κακόν. Εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου ἀνθρώπους πείθομεν θεῷ δὲ πεφανερώμεθα, ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι. οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους καὶ οὐ καρδίᾳ. εἴτε γὰρ ἐξέστημεν θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν. ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν ἄρα οἱ πάν-

---

5. v.1 οἶδα^{vixa1p} γάρ^{c} ὅτι^{c} ἐάν^{qo} ὁ^{dnfs} ἐπίγειος^{anfsn} ἐγώ$^{rpg-p}$ οἰκία^{nnfs} ὁ^{dgns} σκῆνος^{ngns} καταλύω^{vsap3s} οἰκοδομή^{nafs} ἐκ^{p} θεός^{ngms} ἔχω^{vipa1p} οἰκία^{nafs} ἀχειροποίητος^{aafsn} αἰώνιος^{aafsn} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp}. **v.2** καί^{c} γάρ^{c} ἐν^{p} οὗτος^{rddns} στενάζω^{vipa1p} ὁ^{dans} οἰκητήριον^{nans} ἐγώ$^{rpg-p}$ ὁ^{dans} ἐκ^{p} οὐρανός^{ngms} ἐπενδύω^{vnam} ἐπιποθέω^{vppanmp}. **v.3** εἴ&γε^{qo} καί^{c} ἐνδύω^{vpamnmp} οὐ^{xo} γυμνός^{annmpn} εὑρίσκω^{vifp1p}. **v.4** καί^{c} γάρ^{c} ὁ^{dnmp} εἰμί^{vppxnmp} ἐν^{p} ὁ^{ddns} σκῆνος^{ndns} στενάζω^{vipa1p} βαρέω^{vpppnmp} ἐπειδή^{c} οὐ^{xo} θέλω^{vipa1p} ἐκδύω^{vnam} ἀλλά^{c} ἐπενδύω^{vnam} ἵνα^{c} καταπίνω^{vsap3s} ὁ^{dnns} θνητός^{annsn} ὑπό^{p} ὁ^{dgfs} ζωή^{ngfs}. **v.5** ὁ^{dnms} δέ^{c} κατεργάζομαι^{vpadnms} ἐγώ$^{rpa-p}$ εἰς^{p} αὐτός^{rpans} οὗτος^{rdans} θεός^{nnms} ὁ^{dnms} καί^{c} δίδωμι^{vpaanms} ἐγώ$^{rpd-p}$ ὁ^{dams} ἀρραβών^{nams} ὁ^{dgns} πνεῦμα^{ngns}. **v.6** θαρρέω^{vppanmp} οὖν^{c} πάντοτε^{bo} καί^{c} οἶδα^{vpxanmp} ὅτι^{c} ἐνδημέω^{vppanmp} ἐν^{p} ὁ^{ddns} σῶμα^{ndns} ἐκδημέω^{vipa1p} ἀπό^{p} ὁ^{dgms} κύριος^{ngms}. **v.7** διά^{p} πίστις^{ngfs} γάρ^{c} περιπατέω^{vipa1p} οὐ^{xo} διά^{p} εἶδος^{ngns}. **v.8** θαρρέω^{vipa1p} δέ^{c} καί^{c} εὐδοκέω^{vipa1p} μᾶλλον^{bo} ἐκδημέω^{vnaa} ἐκ^{p} ὁ^{dgns} σῶμα^{ngns} καί^{c} ἐνδημέω^{vnaa} πρός^{p} ὁ^{dams} κύριος^{nams}. **v.9** διό^{c} καί^{c} φιλοτιμέομαι^{vipn1p} εἴτε^{c} ἐνδημέω^{vppanmp} εἴτε^{c} ἐκδημέω^{vppanmp} εὐάρεστος^{anmpn} αὐτός^{rpdms} εἰμί^{vnpx}. **v.10** ὁ^{damp} γάρ^{c} πᾶς^{aampn} ἐγώ$^{rpa-p}$ φανερόω^{vnap} δεῖ^{vipq3s} ἔμπροσθεν^{p} ὁ^{dgns} βῆμα^{ngns} ὁ^{dgms} Χριστός^{ngms} ἵνα^{c} κομίζω^{vsam3s} ἕκαστος^{anmsn} ὁ^{danp} διά^{p} ὁ^{dgns} σῶμα^{ngns} πρός^{p} ὅς^{rranp} πράσσω^{viaa3s} εἴτε^{c} ἀγαθός^{aansn} εἴτε^{c} κακός^{aansn}. **v.11** οἶδα^{vpxanmp} οὖν^{c} ὁ^{dams} φόβος^{nams} ὁ^{dgms} κύριος^{ngms} ἄνθρωπος^{namp} πείθω^{vipa1p} θεός^{ndms} δέ^{c} φανερόω^{vixp1p} ἐλπίζω^{vipa1s} δέ^{c} καί^{c} ἐν^{p} ὁ^{ddfp} συνείδησις^{ndfp} σύ$^{rpg-p}$ φανερόω^{vnxp}. **v.12** οὐ^{xo} γάρ^{c} πάλιν^{bo} ἑαυτοῦ^{rxamp} συνίστημι^{vipa1p} σύ$^{rpd-p}$ ἀλλά^{c} ἀφορμή^{nafs} δίδωμι^{vppanmp} σύ$^{rpd-p}$ καύχημα^{ngns} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ ἵνα^{c} ἔχω^{vspa2p} πρός^{p} ὁ^{damp} ἐν^{p} πρόσωπον^{ndns} καυχάομαι^{vppnamp} καί^{c} ὅς^{xo} καρδία^{ndfs}. **v.13** εἴτε^{c} γάρ^{c} ἐξίστημι^{viaa1p} θεός^{ndms} εἴτε^{c} σωφρονέω^{vipa1p} σύ$^{rpd-p}$.

τες ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ ζῶντες μηκέτι 15
ἑαυτοῖς ζῶσιν ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.
Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα, εἰ δὲ καὶ 16
ἐγνώκαμεν κατὰ σάρκα Χριστόν ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.
ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν ἰδοὺ 17
γέγονεν καινά, τὰ πάντα. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ τοῦ καταλ- 18
λάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ καὶ δόντος ἡμῖν τὴν
διακονίαν τῆς καταλλαγῆς. ὡς ὅτι θεὸς ἦν ἐν Χριστῷ κόσμον 19
καταλλάσσων ἑαυτῷ μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα
αὐτῶν καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. ὑπὲρ 20
Χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ θεοῦ παρακαλοῦντος δι᾽ ἡ-
μῶν, δεόμεθα ὑπὲρ Χριστοῦ καταλλάγητε τῷ θεῷ. τὸν γὰρ 21
μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν ἵνα ἡμεῖς
γινώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.

Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν **6**
τοῦ θεοῦ δέξασθαι ὑμᾶς, λέγει γάρ Καιρῷ δεκτῷ ἐπήκουσά 2
σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι ἰδοὺ νῦν καιρὸς εὐ-
πρόσδεκτος ἰδοὺ νῦν ἡμέρα σωτηρίας. μηδεμίαν ἐν μηδενὶ 3
διδόντες προσκοπήν ἵνα μὴ μωμηθῇ ἡ διακονία. ἀλλ ἐν παντὶ 4
συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ ἐν

---

v.14 ὁ^{dnfs} γάρ^{c} ἀγάπη^{nnfs} ὁ^{dgms} Χριστός^{ngms} συνέχω^{vipa3s} ἐγώ$^{rpa-p}$ κρίνω^{vpaaamp} οὗτος^{rdans} ὅτι^{c} εἷς^{qo} ὑπέρ^{p} πᾶς^{nnms} ἀποθνῄσκω^{viaa3s} ἄρα^{xo} ὁ^{dnmp} πᾶς^{anmpn} ἀποθνῄσκω^{viaa3p}. **v.15** καί^{c} ὑπέρ^{p} πᾶς^{agmpn} ἀποθνῄσκω^{viaa3s} ἵνα^{c} ὁ^{dnmp} ζάω^{vppanmp} μηκέτι^{bo} ἑαυτοῦ^{rxdmp} ζάω^{vspa3p} ἀλλά^{c} ὁ^{ddms} ὑπέρ^{p} αὐτός^{rpgmp} ἀποθνῄσκω^{vpaadms} καί^{c} ἐγείρω^{vpapdms}. **v.16** ὥστε^{c} ἐγώ$^{rpn-p}$ ἀπό^{p} ὁ^{dgms} νῦν^{bo} οὐδείς^{aamsn} οἶδα^{vixa1p} κατά^{p} σάρξ^{nnfs} εἰ^{qo} δέ^{c} καί^{c} γινώσκω^{vixa1p} κατά^{p} σάρξ^{nnfs} Χριστός^{nnms} ἀλλά^{c} νῦν^{bo} οὐκέτι^{bo} γινώσκω^{vipa1p}. **v.17** ὥστε^{c} εἰ^{qo} τι-σρινμσ ἐν^{p} Χριστός^{ndms} καινός^{anfsn} κτίσις^{nnfs} ὁ^{dnnp} ἀρχαῖος^{annpn} παρέρχομαι^{viaa3s} ἰδού^{vdaa2s} γίνομαι^{vixa3s} καινός^{annpn} ὁ^{dnnp} πᾶς^{annpn}. **v.18** ὁ^{dnnp} δέ^{c} πᾶς^{annpn} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} καταλλάσσω^{vpaagms} ἐγώ$^{rpa-p}$ ἑαυτοῦ^{rxdms} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} καί^{c} δίδωμι^{vpaagms} ἐγώ$^{rpd-p}$ ὁ^{dafs} διακονία^{nafs} ὁ^{dgfs} καταλλαγή^{ngfs}. **v.19** ὡς^{bo} ὅτι^{c} θεός^{nnms} εἰμί^{viix3s} ἐν^{p} Χριστός^{ndms} κόσμος^{nams} καταλλάσσω^{vppanms} ἑαυτοῦ^{rxdms} μή^{xo} λογίζομαι^{vppnnms} αὐτός^{rpdmp} ὁ^{danp} παράπτωμα^{nanp} αὐτός^{rpgmp} καί^{c} τίθημι^{vpamnms} ἐν^{p} ἐγώ$^{rpd-p}$ ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} καταλλαγή^{ngfs}. **v.20** ὑπέρ^{p} Χριστός^{ngms} οὖν^{c} πρεσβεύω^{vipa1p} ὡς^{bo} ὁ^{dgms} θεός^{ngms} παρακαλέω^{vppagms} διά^{p} ἐγώ$^{rpg-p}$ δέομαι^{vipn1p} ὑπέρ^{p} Χριστός^{ngms} καταλλάσσω^{vdap2p} ὁ^{ddms} θεός^{ndms}. **v.21** ὁ^{dams} γάρ^{c} μή^{xo} γινώσκω^{vpaaams} ἁμαρτία^{nafs} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ ἁμαρτία^{nafs} ποιέω^{viaa3s} ἵνα^{c} ἐγώ$^{rpn-p}$ γίνομαι^{vspn1p} δικαιοσύνη^{nnfs} θεός^{ngms} ἐν^{p} αὐτός^{rpdms}. **6. v.1** συνεργέω^{vppanmp} δέ^{c} καί^{c} παρακαλέω^{vipa1p} μή^{xo} εἰς^{p} κενός^{aansn} ὁ^{dafs} χάρις^{nafs} ὁ^{dgms} θεός^{ngms} δέχομαι^{vnad} σύ$^{rpa-p}$. **v.2** λέγω^{vipa3s} γάρ^{c} καιρός^{ndms} δεκτός^{admsn} ἐπακούω^{viaa1s} σύ$^{rpg-s}$ καί^{c} ἐν^{p} ἡμέρα^{ndfs} σωτηρία^{ngfs} βοηθέω^{viaa1s} σύ$^{rpd-s}$ ἰδού^{vdaa2s} νῦν^{bo} καιρός^{nnms} εὐπρόσδεκτος^{anmsn} ἰδού^{vdaa2s} νῦν^{bo} ἡμέρα^{nnfs} σωτηρία^{ngfs}. **v.3** μηδείς^{aafsn} ἐν^{p} μηδείς^{adnsn} δίδωμι^{vppanmp} προσκοπή^{nafs} ἵνα^{c} μή^{xo} μωμάομαι^{vsap3s} ὁ^{dnfs} διακονία^{nnfs}.

v.6 ἐκ^{p} οὗτος^{rdgmp} γάρ^{c} εἰμί^{vipx3p} ὁ^{dnmp} ἐνδύνω^{vppanmp} εἰς^{p} ὁ^{dafp} οἰκία^{nafp} καί^{c} αἰχμαλωτεύω^{vppanmp} ὁ^{danp} γυναικάριον^{nanp} σωρεύω^{vpxpanp} ἁμαρτία^{ndfp} ἄγω^{vpppanp} ἐπιθυμία^{ndfp} ποικίλος^{adfpn}. **v.7** πάντοτε^{bo} μανθάνω^{vppaanp} καί^{c} μηδέποτε^{bo} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ἔρχομαι^{vnaa} δύναμαι^{vppnanp}. **v.8** ὅς^{rrams} τρόπος^{nams} δέ^{c} Ἰάννης^{nnms} καί^{c} Ἰαμβρῆς^{nnms} ἀνθίστημι^{viaa3p} Μωϋσῆς^{ndms} οὕτω^{bo} καί^{c} οὗτος^{rdnmp} ἀνθίστημι^{vipm3p} ὁ^{ddfs} ἀλήθεια^{ndfs} ἄνθρωπος^{nnmp} καταφθείρω^{vpxpnmp} ὁ^{dams} νοῦς^{nams} ἀδόκιμος^{anmpn} περί^{p} ὁ^{dafs} πίστις^{nafs}. **v.9** ἀλλά^{c} οὐ^{xo} προκόπτω^{vifa3p} ἐπί^{p} πολύς^{aansc} ὁ^{dnfs} γάρ^{c} ἄνοια^{nnfs} αὐτός^{rpgmp} ἔκδηλος^{anmsn} εἰμί^{vifx3s} πᾶς^{admpn} ὡς^{bo} καί^{c} ὁ^{dnfs} ἐκεῖνος^{rdgmp} γίνομαι^{viad3s}. **v.10** σύ$^{rpn-s}$ δέ^{c} παρακολουθέω^{vixa2s} ἐγώ$^{rpg-s}$ ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ἀγωγή^{ndfs} ὁ^{ddfs} πρόθεσις^{ndfs} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} μακροθυμία^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.11** ὁ^{ddmp} διωγμός^{ndmp} ὁ^{ddnp} πάθημα^{ndnp} οἷος^{rrnnp} ἐγώ$^{rpd-s}$ γίνομαι^{viad3s} ἐν^{p} Ἀντιόχεια^{ndfs} ἐν^{p} Ἰκόνιον^{ndns} ἐν^{p} Λύστρα^{ndnp} οἷος^{rcanp} διωγμός^{namp} ὑποφέρω^{viaa1s} καί^{c} ἐκ^{p} πᾶς^{agmpn} ἐγώ$^{rpa-s}$ ῥύομαι^{vian3s} ὁ^{dnms} κύριος^{nnms}. **v.12** καί^{c} πᾶς^{anmpn} δέ^{c} ὁ^{dnmp} θέλω^{vppanmp} εὐσεβῶς^{bo} ζάω^{vnpa} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} διώκω^{vifp3p}. **v.13** πονηρός^{anmpn} δέ^{c} ἄνθρωπος^{nnmp} καί^{c} γόης^{nnmp} προκόπτω^{vifa3p} ἐπί^{p} ὁ^{dans} χείρων^{aansn} πλανάω^{vppanmp} καί^{c} πλανάω^{vpppnmp}. **v.14** σύ$^{rpn-s}$ δέ^{c} μένω^{vdpa2s} ἐν^{p} ὅς^{rrdnp} μανθάνω^{viaa2s} καί^{c} πιστόω^{viap2s} οἶδα^{vpxanms} παράῤ τίς^{rqgms} μανθάνω^{viaa2s}. **v.15** καί^{c} ὅτι^{c} ἀπόῤ βρέφος^{ngns} ὁ^{danp} ἱερός^{aanpn} γράμμα^{nanp} οἶδα^{vixa2s} ὁ^{danp} δύναμαι^{vppnanp} σύ$^{rpa-s}$ σοφίζω^{vnaa} εἰς^{p} σωτηρία^{nafs} διάῤ πίστις^{ngfs} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.16** πᾶς^{anfsn} γραφή^{nnfs} θεόπνευστος^{anfsn} καί^{c} ὠφέλιμος^{anmsn} πρόςῤ διδασκαλία^{nafs} πρόςῤ ἔλεγχος^{nams} πρόςῤ ἐπανόρθωσις^{nafs} πρόςῤ παιδεία^{nafs} ὁ^{dafs} ἐν^{p} δικαιοσύνη^{ndfs}. **v.17** ἵνα^{c} ἄρτιος^{anmsn} εἰμί^{vspx3s} ὁ^{dnms} ὁ^{dgms} θεός^{ngms} ἄνθρωπος^{nnms} πρόςῤ πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἐξαρτίζω^{vpxpnms}.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ κυρίου **4**
Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς κα-
τὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, κήρυξον 2
τὸν λόγον ἐπίστηθι εὐκαίρως ἀκαίρως ἔλεγξον ἐπιτίμησον πα-
ρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. ἔσται γὰρ καιρὸς 3
ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται ἀλλὰ κατὰ
τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσιν διδασκάλους
κνηθόμενοι τὴν ἀκοήν. καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκο- 4
ὴν ἀποστρέψουσιν ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. σὺ δὲ 5
νῆφε ἐν πᾶσιν κακοπάθησον ἔργον ποίησον εὐαγγελιστοῦ τὴν
διακονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ 6
καιρὸς τῆς ἐμῆς ἀναλύσεώς ἐφέστηκεν. τὸν ἀγῶνα τὸν καλὸν 7
ἠγώνισμαι τὸν δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα, λοιπὸν 8
ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδώσει μοι ὁ
κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής οὐ μόνον δὲ ἐ-
μοὶ ἀλλὰ καὶ πάσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ.
Σπούδασον ἐλθεῖν πρός με ταχέως, Δημᾶς γάρ με ἐγκατέλι- 9, 10
πεν ἀγαπήσας τὸν νῦν αἰῶνα καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην
Κρήσκης εἰς Γαλατίαν Τίτος εἰς Δαλματίαν, Λουκᾶς ἐστιν μό- 11
νος μετ ἐμοῦ Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ ἔστιν γάρ
μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔ- 12
φεσον. τὸν φαιλόνην ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ 13

---

4. **v.1** διαμαρτύρομαι^{vipn1s} οὖν^{c} ἐγώ$^{rpn\text{-}s}$ ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} μέλλω^{vppagms} κρίνω^{vnpa} ζάω^{vppaamp} καί^{c} νεκρός^{aampn} κατά^{p} ὁ^{dafs} ἐπιφάνεια^{nafs} αὐτός^{rpgms} καί^{c} ὁ^{dafs} βασιλεία^{nafs} αὐτός^{rpgms}. **v.2** κηρύσσω^{vdaa2s} ὁ^{dams} λόγος^{nams} ἐφίστημι^{vdaa2s} εὐκαίρως^{bo} ἀκαίρως^{bo} ἐλέγχω^{vdaa2s} ἐπιτιμάω^{vdaa2s} παρακαλέω^{vdaa2s} ἐν^{p} πᾶς^{adfsn} μακροθυμία^{ndfs} καί^{c} διδαχή^{ndfs}. **v.3** εἰμί^{vifx3s} γάρ^{c} καιρός^{nnms} ὅτε^{bo} ὁ^{dgfs} ὑγιαίνω^{vppagfs} διδασκαλία^{ngfs} οὐ^{xo} ἀνέχω^{vifd3p} ἀλλά^{c} κατά^{p} ὁ^{dafp} ἐπιθυμία^{nafp} ὁ^{dafp} ἴδιος^{aafpn} ἑαυτοῦ^{rxdmp} ἐπισωρεύω^{vifa3p} διδάσκαλος^{namp} κνήθω^{vpppnmp} ὁ^{dafs} ἀκοή^{nafs}. **v.4** καί^{c} ἀπό^{p} μέν^{xo} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ὁ^{dafs} ἀκοή^{nafs} ἀποστρέφω^{vifa3p} ἐπί^{p} δέ^{c} ὁ^{damp} μῦθος^{namp} ἐκτρέπω^{vifp3p}. **v.5** σύ$^{rpn\text{-}s}$ δέ^{c} νήφω^{vdpa2s} ἐν^{p} πᾶς^{adnpn} κακοπαθέω^{vdaa2s} ἔργον^{nans} ποιέω^{vdaa2s} εὐαγγελιστής^{ngms} ὁ^{dafs} διακονία^{nafs} σύ$^{rpg\text{-}s}$ πληροφορέω^{vdaa2s}. **v.6** ἐγώ$^{rpn\text{-}s}$ γάρ^{c} ἤδη^{bo} σπένδω^{vipp1s} καί^{c} ὁ^{dnms} καιρός^{nnms} ὁ^{dgfs} ἐμός^{rsgfs} ἀνάλυσις^{ngfs} ἐφίστημι^{vixa3s}. **v.7** ὁ^{dams} ἀγών^{nams} ὁ^{dams} καλός^{aamsn} ἀγωνίζομαι^{vixn1s} ὁ^{dams} δρόμος^{nams} τελέω^{vixa1s} ὁ^{dafs} πίστις^{nafs} τηρέω^{vixa1s}. **v.8** λοιπός^{aansn} ἀπόκειμαι^{vipn3s} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dnms} ὁ^{dgfs} δικαιοσύνη^{ngfs} στέφανος^{nnms} ὅς^{rrams} ἀποδίδωμι^{vifa3s} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dnms} κύριος^{nnms} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὁ^{dnms} δίκαιος^{anmsn} κριτής^{nnms} οὐ^{xo} μόνος^{bo} δέ^{c} ἐγώ$^{rpd\text{-}s}$ ἀλλά^{c} καί^{c} πᾶς^{admpn} ὁ^{ddmp} ἀγαπάω^{vpxadmp} ὁ^{dafs} ἐπιφάνεια^{nafs} αὐτός^{rpgms}. **v.9** σπουδάζω^{vdaa2s} ἔρχομαι^{vnaa} πρός^{p} ἐγώ$^{rpa\text{-}s}$ ταχέως^{bo}. **v.10** Δημᾶς^{nnms} γάρ^{c} ἐγώ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{viaa3s} ἀγαπάω^{vpaanms} ὁ^{dams} νῦν^{bo} αἰών^{nams} καί^{c} πορεύομαι^{viao3s} εἰς^{p} Θεσσαλονίκη^{nafs} Κρήσκης^{nnms} εἰς^{p} Γαλατία^{nafs} Τίτος^{nnms} εἰς^{p} Δαλματία^{nafs}. **v.11** Λουκᾶς^{nnms} εἰμί^{vipx3s} μόνος^{anmsn} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$ Μᾶρκος^{nams} ἀναλαμβάνω^{vpaanms} ἄγω^{vdpa2s} μετά^{p} σεαυτοῦ^{rxgms} εἰμί^{vipx3s} γάρ^{c} ἐγώ$^{rpd\text{-}s}$ εὔχρηστος^{anmsn} εἰς^{p} διακονία^{nafs}. **v.12** Τυχικός^{nams} δέ^{c} ἀποστέλλω^{viaa1s} εἰς^{p} Ἔφεσος^{nafs}.

14 ἐρχόμενος φέρε καὶ τὰ βιβλία μάλιστα τὰς μεμβράνας. Ἀλέ-
ξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ἀποδῴη αὐτῷ ὁ
15 κύριος κατὰ τὰ ἔργα αὐτοῦ, ὃν καὶ σὺ φυλάσσου λίαν γὰρ ἀν-
16 θέστηκεν τοῖς ἡμετέροις λόγοις. Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ
οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον, μὴ
17 αὐτοῖς λογισθείη, ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν
με ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσῃ πάντα
18 τὰ ἔθνη καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. καὶ ῥύσεταί με ὁ
κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν
αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων
19 ἀμήν. Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου
20 οἶκον. Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ Τρόφιμον δὲ ἀπέλιπον ἐν
21 Μιλήτῳ ἀσθενοῦντα. Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν Ἀσπά-
ζεταί σε Εὔβουλος καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ οἱ
22 ἀδελφοὶ πάντες. Ὁ κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύμα-
τός σου ἡ χάρις μεθ ὑμῶν ἀμήν. [πρός Τιμόθεον δευτέρᾳ τῆς
Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη
ἀπό Ῥωμης ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρί Νέ-
ρωνι]

---

v.13 ὁ^dams φαιλόνης^nams ὃς^rrams ἀπολείπω^viaa1s ἐν^p Τρῳάς^ndfs παρά^p Καρπός^ndms ἔρχομαι^vppnnms φέρω^vdpa2s καί^c ὁ^danp βιβλίον^nanp μάλιστα^bo ὁ^dafp μεμβράνα^nafp. **v.14** Ἀλέξανδρος^nnms ὁ^dnms χαλκεύς^nnms πολύς^aanpn ἐγώ^rpd-s κακός^aanpn ἐνδείκνυμι^viam3s ἀποδίδωμι^voaa3s αὐτός^rpdms ὁ^dnms κύριος^nnms κατά^p ὁ^danp ἔργον^nanp αὐτός^rpgms. **v.15** ὅς^rrams καί^c σύ^rpn-s φυλάσσω^vdpm2s λίαν^bo γάρ^c ἀνθίστημι^vixa3s ὁ^ddmp ἡμέτερος^rsdmp λόγος^ndmp. **v.16** ἐν^p ὁ^ddfs πρῶτος^adfsn ἐγώ^rpg-s ἀπολογία^ndfs οὐδείς^anfsn ἐγώ^rpd-s συμπαραγίνομαι^viad3s ἀλλά^c πᾶς^anmpn ἐγώ^rpa-s ἐγκαταλείπω^viaa3p μή^xo αὐτός^rpdmp λογίζομαι^voao3s. **v.17** ὁ^dnms δέ^c κύριος^nnms ἐγώ^rpd-s παρίστημι^viaa3s καί^c ἐνδυναμόω^viaa3s ἐγώ^rpa-s ἵνα^c διά^p ἐγώ^rpg-s ὁ^dnns κήρυγμα^nnns πληροφορέω^vsap3s καί^c ἀκούω^vsaa3s πᾶς^annpn ὁ^dnnp ἔθνος^nnnp καί^c ῥύομαι^viap1s ἐκ^p στόμα^ngns λέων^ngms. **v.18** καί^c ῥύομαι^vifd3s ἐγώ^rpa-s ὁ^dnms κύριος^nnms ἀπό^p πᾶς^agnsn ἔργον^ngns πονηρός^agnsn καί^c σῴζω^vifa3s εἰς^p ὁ^dafs βασιλεία^nafs αὐτός^rpgms ὁ^dafs ἐπουράνιος^aafsn ὅς^rrdms ὁ^dnfs δόξα^nnfs εἰς^p ὁ^damp αἰών^namp ὁ^dgmp αἰών^ngmp ἀμήν^th. **v.19** ἀσπάζομαι^vdad2s Πρίσκα^nafs καί^c Ἀκύλας^nams καί^c ὁ^dams Ὀνησίφορος^ngms οἶκος^nams. **v.20** Ἔραστος^nnms μένω^viaa3s ἐν^p Κόρινθος^ndfs Τρόφιμος^nams δέ^c ἀπολείπω^viaa1s ἐν^p Μίλητος^ndfs ἀσθενέω^vppaams. **v.21** σπουδάζω^vdaa2s πρό^p χειμών^ngms ἔρχομαι^vnaa ἀσπάζομαι^vipn3s σύ^rpa-s Εὔβουλος^nnms καί^c Πούδης^nnms καί^c Λίνος^nnms καί^c Κλαυδία^nnfs καί^c ὁ^dnmp ἀδελφός^nnmp πᾶς^anmpn. **v.22** ὁ^dnms κύριος^nnms Ἰησοῦς^nnms Χριστός^nnms μετά^p ὁ^dgns πνεῦμα^ngns σύ^rpg-s ὁ^dnfs χάρις^nnfs μετά^p σύ^rpg-p ἀμήν^th πρός^p Τιμόθεος^nams δεύτερος^anfsn ὁ^dgfs Ἐφέσιος^agmpn ἐκκλησία^ngfs πρῶτος^aamsn ἐπίσκοπος^nams χειροτονέω^vpapams γράφω^viap3s ἀπό^p Ῥωμη^ngfs ὅτε^bo ἐκ^p δεύτερος^agnsn παρίστημι^viaa3s Παῦλος^nnms ὁ^ddms Καῖσαρ^ndms Νέρων^ndms.

Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος δοῦλος θεοῦ ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πί- **1**
στιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ εὐσέβειαν.
ἐπ ἐλπίδι ζωῆς αἰωνίου ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ 2
χρόνων αἰωνίων. ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐ- 3
τοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ ἐπιταγὴν τοῦ σωτῆρος
ἡμῶν θεοῦ. Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν χάρις ἔ- 4
λεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ
σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ ἵνα τὰ 5
λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέ-
ρους ὡς ἐγώ σοι διεταξάμην. εἴ τίς ἐστιν ἀνέγκλητος μιᾶς 6
γυναικὸς ἀνήρ τέκνα ἔχων πιστά μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ
ἀνυπότακτα. δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θε- 7
οῦ οἰκονόμον μὴ αὐθάδη μὴ ὀργίλον μὴ πάροινον μὴ πλήκ-
την μὴ αἰσχροκερδῆ. ἀλλὰ φιλόξενον φιλάγαθον σώφρονα 8
δίκαιον ὅσιον ἐγκρατῆ. ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν 9
πιστοῦ λόγου ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκα-
λίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰσὶν γὰρ 10
πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι καὶ φρεναπάται μάλιστα
οἱ ἐκ περιτομῆς. οὓς δεῖ ἐπιστομίζειν οἵτινες ὅλους οἴκους 11

---

1. v.1 Παῦλος^{nnms} δοῦλος^{nnms} θεός^{ngms} ἀπόστολος^{nnms} δέ^{c} Ἰησοῦς^{ngms} Χριστός^{ngms} κατά^{p} πίστις^{nafs} ἐκλεκτός^{agmpn} θεός^{ngms} καί^{c} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ὁ^{dgfs} κατά^{p} εὐσέβεια^{nafs}. **v.2** ἐπί^{p} ἐλπίς^{ndfs} ζωή^{ngfs} αἰώνιος^{agfsn} ὅς^{rrafs} ἐπαγγέλλομαι^{viad3s} ὁ^{dnms} ἀψευδής^{anmsn} θεός^{nnms} πρό^{p} χρόνος^{ngmp} αἰώνιος^{agmpn}. **v.3** φανερόω^{viaa3s} δέ^{c} καιρός^{ndmp} ἴδιος^{admpn} ὁ^{dams} λόγος^{nams} αὐτός^{rpgms} ἐν^{p} κήρυγμα^{ndns} ὅς^{rrans} πιστεύω^{viap1s} ἐγώ$^{rpn-s}$ κατά^{p} ἐπιταγή^{nafs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}. **v.4** Τίτος^{ndms} γνήσιος^{adnsn} τέκνον^{ndns} κατά^{p} κοινός^{aafsn} πίστις^{nafs} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$. **v.5** οὗτος^{rdgns} χάριν^{bo} καταλείπω^{viaa1s} σύ$^{rpa-s}$ ἐν^{p} Κρήτη^{ndfs} ἵνα^{c} ὁ^{danp} λείπω^{vppaanp} ἐπιδιορθόω^{vsam2s} καί^{c} καθίστημι^{vsaa2s} κατά^{p} πόλις^{nafs} πρεσβύτερος^{aampn} ὡς^{bo} ἐγώ$^{rpn-s}$ σύ$^{rpd-s}$ διατάσσω^{viam1s}. **v.6** εἰ^{qo} τίς^{rinms} εἰμί^{vipx3s} ἀνέγκλητος^{anmsn} εἷς^{ngfs} γυνή^{ngfs} ἀνήρ^{nnms} τέκνον^{nanp} ἔχω^{vppanms} πιστός^{aanpn} μή^{xo} ἐν^{p} κατηγορία^{ndfs} ἀσωτία^{ngfs} ἤ^{xo} ἀνυπότακτος^{aanpn}. **v.7** δεῖ^{vipq3s} γάρ^{c} ὁ^{dams} ἐπίσκοπος^{nams} ἀνέγκλητος^{aamsn} εἰμί^{vnpx} ὡς^{bo} θεός^{ngms} οἰκονόμος^{nams} μή^{xo} αὐθάδης^{aamsn} μή^{xo} ὀργίλος^{aamsn} μή^{xo} πάροινος^{aamsn} μή^{xo} πλήκτης^{nams} μή^{xo} αἰσχροκερδής^{aamsn}. **v.8** ἀλλά^{c} φιλόξενος^{aamsn} φιλάγαθος^{aamsn} σώφρων^{aamsn} δίκαιος^{aamsn} ὅσιος^{aamsn} ἐγκρατής^{aamsn}. **v.9** ἀντέχω^{vppnams} ὁ^{dgms} κατά^{p} ὁ^{dafs} διδαχή^{nafs} πιστός^{agmsn} λόγος^{ngms} ἵνα^{c} δυνατός^{anmsn} εἰμί^{vspx3s} καί^{c} παρακαλέω^{vnpa} ἐν^{p} ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} καί^{c} ὁ^{damp} ἀντιλέγω^{vppaamp} ἐλέγχω^{vnpa}. **v.10** εἰμί^{vipx3p} γάρ^{c} πολύς^{anmpn} καί^{c} ἀνυπότακτος^{anmpn} ματαιολόγος^{anmpn} καί^{c} φρεναπάτης^{nnmp} μάλιστα^{bo} ὁ^{dnmp} ἐκ^{p} περιτομή^{ngfs}.

ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν.
12 εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης Κρῆτες ἀεὶ ψεῦσται
13 κακὰ θηρία γαστέρες ἀργαί. ἡ μαρτυρία αὕτη ἐστὶν ἀλη-
θής δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως ἵνα ὑγιαίνωσιν ἐν τῇ
14 πίστει. μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀν-
15 θρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. πάντα μὲν καθαρὰ
τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθα-
16 ρόν ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. θεὸν
ὁμολογοῦσιν εἰδέναι τοῖς δὲ ἔργοις ἀρνοῦνται βδελυκτοὶ ὄντες
καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

2, 2 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. πρεσβύ-
τας νηφαλίους εἶναι σεμνούς σώφρονας ὑγιαίνοντας τῇ πίστει
3 τῇ ἀγάπῃ τῇ ὑπομονῇ, πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι
ἱεροπρεπεῖς μὴ διαβόλους μὴ οἴνῳ πολλῷ δεδουλωμένας καλο-
4 διδασκάλους. ἵνα σωφρονίζωσιν τὰς νέας φιλάνδρους εἶναι φι-
5 λοτέκνους. σώφρονας ἁγνάς οἰκουρούς ἀγαθάς ὑποτασσομέ-
νας τοῖς ἰδίοις ἀνδράσιν ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται.
6, 7 τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν. περὶ πάντα
σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ ἀ-
8 διαφθορίαν, σεμνότητα ἀφθαρσιαν, λόγον ὑγιῆ ἀκατάγνωστον
ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον.

---

v.11 ὅς^{rramp} δεῖ^{vipq3s} ἐπιστομίζω^{vnpa} ὅστις^{rrnmp} ὅλος^{aampn} οἶκος^{namp} ἀνατρέπω^{vipa3p} διδάσκω^{vppanmp} ὅς^{rranp} μή^{xo} δεῖ^{vipq3s} αἰσχρός^{agnsn} κέρδος^{ngns} χάριν^{bo}. **v.12** λέγω^{viaa3s} τι-σρινμσ ἐκ^{p} αὐτός^{rpgmp} ἴδιος^{anmsn} αὐτός^{rpgmp} προφήτης^{nnms} Κρής^{nnmp} ἀεί^{bo} ψεύστης^{nnmp} κακός^{annpn} θηρίον^{nnnp} γαστήρ^{nnfp} ἀργός^{anfpn}. **v.13** ὁ^{dnfs} μαρτυρία^{nnfs} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ἀληθής^{anfsn} διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἐλέγχω^{vdpa2s} αὐτός^{rpamp} ἀποτόμως^{bo} ἵνα^{c} ὑγιαίνω^{vspa3p} ἐν^{p} ὁ^{ddfs} πίστις^{ndfs}. **v.14** μή^{xo} προσέχω^{vppanmp} Ἰουδαϊκός^{admpn} μῦθος^{ndmp} καί^{c} ἐντολή^{ndfp} ἄνθρωπος^{ngmp} ἀποστρέφω^{vppmmgmp} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.15** πᾶς^{annpn} μέν^{xo} καθαρός^{annpn} ὁ^{ddmp} καθαρός^{admpn} ὁ^{ddmp} δέ^{c} μιαίνω^{vpxpdmp} καί^{c} ἄπιστος^{admpn} οὐδείς^{annsn} καθαρός^{annsn} ἀλλά^{c} μιαίνω^{vixp3s} αὐτός^{rpgmp} καί^{c} ὁ^{dnms} νοῦς^{nnms} καί^{c} ὁ^{dnfs} συνείδησις^{nnfs}. **v.16** θεός^{nams} ὁμολογέω^{vipa3p} οἶδα^{vnxa} ὁ^{ddnp} δέ^{c} ἔργον^{ndnp} ἀρνέομαι^{vipn3p} βδελυκτός^{anmpn} εἰμί^{vppxnmp} καί^{c} ἀπειθής^{anmpn} καί^{c} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἀδόκιμος^{anmpn}.
2. v.1 σύ$^{rpn-s}$ δέ^{c} λαλέω^{vdpa2s} ὅς^{rranp} πρέπω^{vipq3s} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} διδασκαλία^{ndfs}. **v.2** πρεσβύτης^{namp} νηφάλιος^{aampn} εἰμί^{vnpx} σεμνός^{aampn} σώφρων^{aampn} ὑγιαίνω^{vppaamp} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.3** πρεσβῦτις^{nafp} ὡσαύτως^{bo} ἐν^{p} κατάστημα^{ndns} ἱεροπρεπής^{aafpn} μή^{xo} διάβολος^{aafpn} μή^{xo} οἶνος^{ndms} πολύς^{admsn} δουλόω^{vpxpafp} καλοδιδάσκαλος^{aafpn}. **v.4** ἵνα^{c} σωφρονίζω^{vspa3p} ὁ^{dafp} νέος^{aafpn} φίλανδρος^{nafp} εἰμί^{vnpx} φιλότεκνος^{aafpn}. **v.5** σώφρων^{aafpn} ἁγνός^{aafpn} οἰκουρός^{aafpn} ἀγαθός^{aafpn} ὑποτάσσω^{vpppafp} ὁ^{ddmp} ἴδιος^{admpn} ἀνήρ^{ndmp} ἵνα^{c} μή^{xo} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dgms} θεός^{ngms} βλασφημέω^{vspp3s}. **v.6** ὁ^{damp} νέος^{aampc} ὡσαύτως^{bo} παρακαλέω^{vdpa2s} σωφρονέω^{vnpa}. **v.7** περί^{p} πᾶς^{aanpn} σεαυτοῦ^{rxams} παρέχω^{vppmnms} τύπος^{nams} καλός^{agnpn} ἔργον^{ngnp} ἐν^{p} ὁ^{ddfs} διδασκαλία^{ndfs} ἀδιαφθορία^{nafs} σεμνότης^{nafs} ἀφθαρσία^{nafs}. **v.8** λόγος^{nams} ὑγιής^{aamsn} ἀκατάγνωστος^{aamsn} ἵνα^{c} ὁ^{dnms} ἐκ^{p} ἐναντίος^{agfsn} ἐντρέπω^{vsap3s} μηδείς^{aansn} ἔχω^{vppanms} περί^{p} σύ$^{rpg-p}$ λέγω^{vnpa} φαῦλος^{aansn}.

δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν εὐαρέστους 9
εἶναι μὴ ἀντιλέγοντας. μὴ νοσφιζομένους ἀλλὰ πίστιν πᾶσαν 10
ἐνδεικνυμένους ἀγαθήν ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ὑ-
μῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν. Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ 11
ἡ σωτήριος πᾶσιν ἀνθρώποις. παιδεύουσα ἡμᾶς ἵνα ἀρνησά- 12
μενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ
δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. προσδεχόμενοι 13
τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου
θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὃς ἔδωκεν ἑαυτὸν 14
ὑπὲρ ἡμῶν ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ κα-
θαρίσῃ ἑαυτῷ λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων. Ταῦτα 15
λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς, μηδείς
σου περιφρονείτω.

Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι **3**
πειθαρχεῖν πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι. μηδένα 2
βλασφημεῖν ἀμάχους εἶναι ἐπιεικεῖς πᾶσαν ἐνδεικνυμένους
πραότητα πρὸς πάντας ἀνθρώπους. Ἦμεν γάρ ποτε καὶ ἡ- 3
μεῖς ἀνόητοι ἀπειθεῖς πλανώμενοι δουλεύοντες ἐπιθυμίαις καὶ
ἡδοναῖς ποικίλαις ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες στυγητοί μι-
σοῦντες ἀλλήλους. ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία 4
ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ. οὐκ ἐξ ἔργων τῶν ἐν δικαι- 5
οσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν
ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύμα-

---

v.9 δοῦλος^{namp} ἴδιος^{admpn} δεσπότης^{ndmp} ὑποτάσσω^{vnpm} ἐν^{p} πᾶς^{adnpn} εὐάρεστος^{aampn} εἰμί^{vnpx} μή^{xo} ἀντιλέγω^{vppaamp}. **v.10** μή^{xo} νοσφίζω^{vppmamp} ἀλλά^{c} πίστις^{nafs} πᾶς^{aafsn} ἐνδείκνυμι^{vppmamp} ἀγαθός^{aafsn} ἵνα^{c} ὁ^{dafs} διδασκαλία^{nafs} ὁ^{dgms} σωτήρ^{ngms} σύ$^{rpg-p}$ θεός^{ngms} κοσμέω^{vspa3p} ἐν^{p} πᾶς^{adnpn}. **v.11** ἐπιφαίνω^{viap3s} γάρ^{c} ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnfs} σωτήριος^{anmsn} πᾶς^{admpn} ἄνθρωπος^{ndmp}. **v.12** παιδεύω^{vppanfs} ἐγώ$^{rpa-p}$ ἵνα^{c} ἀρνέομαι^{vpadnmp} ὁ^{dafs} ἀσέβεια^{nafs} καί^{c} ὁ^{dafp} κοσμικός^{aafpn} ἐπιθυμία^{nafp} σωφρόνως^{bo} καί^{c} δικαίως^{bo} καί^{c} εὐσεβῶς^{bo} ζάω^{vsaa1p} ἐν^{p} ὁ^{ddms} νῦν^{bo} αἰών^{ndms}. **v.13** προσδέχομαι^{vppnnmp} ὁ^{dafs} μακάριος^{aafsn} ἐλπίς^{nafs} καί^{c} ἐπιφάνεια^{nafs} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} μέγας^{agmsn} θεός^{ngms} καί^{c} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.14** ὅς^{rrnms} δίδωμι^{viaa3s} ἑαυτοῦ^{rxams} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ ἵνα^{c} λυτρόω^{vsam3s} ἐγώ$^{rpa-p}$ ἀπό^{p} πᾶς^{agfsn} ἀνομία^{ngfs} καί^{c} καθαρίζω^{vsaa3s} ἑαυτοῦ^{rxdms} λαός^{nams} περιούσιος^{aamsn} ζηλωτής^{nams} καλός^{agnpn} ἔργον^{ngnp}. **v.15** οὗτος^{rdanp} λαλέω^{vdpa2s} καί^{c} παρακαλέω^{vdpa2s} καί^{c} ἐλέγχω^{vdpa2s} μετά^{p} πᾶς^{agfsn} ἐπιταγή^{ngfs} μηδείς^{anmsn} σύ$^{rpg-s}$ περιφρονέω^{vdpa3s}. **3. v.1** ὑπομιμνήσκω^{vdpa2s} αὐτός^{rpamp} ἀρχή^{ndfp} καί^{c} ἐξουσία^{ndfp} ὑποτάσσω^{vnpm} πειθαρχέω^{vnpa} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἕτοιμος^{aampn} εἰμί^{vnpx}. **v.2** μηδείς^{aamsn} βλασφημέω^{vnpa} ἄμαχος^{aampn} εἰμί^{vnpx} ἐπιεικής^{aampn} πᾶς^{aafsn} ἐνδείκνυμι^{vppmamp} πραΰτης^{nafs} πρός^{p} πᾶς^{aampn} ἄνθρωπος^{namp}. **v.3** εἰμί^{viix1p} γάρ^{c} ποτέ^{xo} καί^{c} ἐγώ$^{rpn-p}$ ἀνόητος^{anmpn} ἀπειθής^{anmpn} πλανάω^{vpppnmp} δουλεύω^{vppanmp} ἐπιθυμία^{ndfp} καί^{c} ἡδονή^{ndfp} ποικίλος^{adfpn} ἐν^{p} κακία^{ndfs} καί^{c} φθόνος^{ndms} διάγω^{vppanmp} στυγητός^{anmpn} μισέω^{vppanmp} ἀλλήλων^{reamp}. **v.4** ὅτε^{bo} δέ^{c} ὁ^{dnfs} χρηστότης^{nnfs} καί^{c} ὁ^{dnfs} φιλανθρωπία^{nnfs} ἐπιφαίνω^{viap3s} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}.

6 τος ἁγίου. οὗ ἐξέχεεν ἐφ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ
7 τοῦ σωτῆρος ἡμῶν. ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κλη-
8 ρονόμοι γενώμεθα κατ ἐλπίδα ζωῆς αἰωνίου. Πιστὸς ὁ λόγος,
καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι ἵνα φροντίζωσιν
καλῶν ἔργων προϊστασθαι οἱ πεπιστευκότες τῷ θεῷ, ταῦτά ἐ-
9 στιν τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζητή-
σεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο,
10 εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι. αἱρετικὸν ἄνθρωπον μετὰ
11 μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. εἰδὼς ὅτι ἐξέστραπται
12 ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω
Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν σπούδασον ἐλθεῖν πρός με εἰς Νι-
13 κόπολιν ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν
καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον ἵνα μηδὲν αὐτοῖς λείπῃ.
14 μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προϊστασθαι
15 εἰς τὰς ἀναγκαίας χρείας ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί
σε οἱ μετ ἐμοῦ πάντες Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πί-
στει ἡ χάρις μετὰ πάντων ὑμῶν ἀμήν. [πρός Τίτον τῆς Κρητῶν
ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπό Νι-
κοπόλεως τῆς Μακεδονίας]

---

v.5 οὐ[xo] ἐκ[p] ἔργον[ngnp] ὁ[dgnp] ἐν[p] δικαιοσύνη[ndfs] ὅς[rrgnp] ποιέω[viaa1p] ἐγώ[rpn-p] ἀλλά[c] κατά[p] ὁ[dams] αὐτός[rpgms] ἔλεος[nams] σῴζω[viaa3s] ἐγώ[rpa-p] διά[p] λουτρόν[ngns] παλιγγενεσία[ngfs] καί[c] ἀνακαίνωσις[ngfs] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.6** ὅς[rrgns] ἐκχέω[viaa3s] ἐπί[p] ἐγώ[rpa-p] πλουσίως[bo] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] σωτήρ[ngms] ἐγώ[rpg-p]. **v.7** ἵνα[c] δικαιόω[vpapnmp] ὁ[ddfs] ἐκεῖνος[rdgms] χάρις[ndfs] κληρονόμος[nnmp] γίνομαι[vsad1p] κατά[p] ἐλπίς[nafs] ζωή[ngfs] αἰώνιος[agfsn]. **v.8** πιστός[anmsn] ὁ[dnms] λόγος[nnms] καί[c] περί[p] οὗτος[rdgnp] βούλομαι[vipn1s] σύ[rpa-s] διαβεβαιόομαι[vnpn] ἵνα[c] φροντίζω[vspa3p] καλός[agnpn] ἔργον[ngnp] προΐστημι[vnpm] ὁ[dnmp] πιστεύω[vpxanmp] ὁ[ddms] θεός[ndms] οὗτος[rdnnp] εἰμί[vipx3s] ὁ[dnnp] καλός[annpn] καί[c] ὠφέλιμος[annpn] ὁ[ddmp] ἄνθρωπος[ndmp]. **v.9** μωρός[aafpn] δέ[c] ζήτησις[nafp] καί[c] γενεαλογία[nafp] καί[c] ἔρις[nafp] καί[c] μάχη[nafp] νομικός[aafpn] περιΐστημι[vdpm2s] εἰμί[vipx3p] γάρ[c] ἀνωφελής[anfpn] καί[c] μάταιος[anmpn]. **v.10** αἱρετικός[aamsn] ἄνθρωπος[nams] μετά[p] εἷς[nafs] καί[c] δεύτερος[aafsn] νουθεσία[nafs] παραιτέομαι[vdpn2s]. **v.11** οἶδα[vpxanms] ὅτι[c] ἐκστρέφω[vixp3s] ὁ[dnms] τοιοῦτος[rdnms] καί[c] ἁμαρτάνω[vipa3s] εἰμί[vppxnms] αὐτοκατάκριτος[anmsn]. **v.12** ὅταν[c] πέμπω[vifa1s] Ἀρτεμᾶς[nams] πρός[p] σύ[rpa-s] ἤ[xo] Τυχικός[nams] σπουδάζω[vdaa2s] ἔρχομαι[vnaa] πρός[p] ἐγώ[rpa-s] εἰς[p] Νικόπολις[nafs] ἐκεῖ[bo] γάρ[c] κρίνω[vixa1s] παραχειμάζω[vnaa]. **v.13** Ζηνᾶς[nams] ὁ[dams] νομικός[aamsn] καί[c] Ἀπολλῶς[nams] σπουδαίως[bo] προπέμπω[vdaa2s] ἵνα[c] μηδείς[aansn] αὐτός[rpdmp] λείπω[vspa3s]. **v.14** μανθάνω[vdpa3p] δέ[c] καί[c] ὁ[dnmp] ἡμέτερος[rsnmp] καλός[agnpn] ἔργον[ngnp] προΐστημι[vnpm] εἰς[p] ὁ[dafp] ἀναγκαῖος[aafpn] χρεία[nafp] ἵνα[c] μή[xo] εἰμί[vspx3p] ἄκαρπος[anmpn]. **v.15** ἀσπάζομαι[vipn3p] σύ[rpa-s] ὁ[dnmp] μετά[p] ἐγώ[rpg-s] πᾶς[anmpn] ἀσπάζομαι[vdad2s] ὁ[damp] φιλέω[vppaamp] ἐγώ[rpa-p] ἐν[p] πίστις[ndfs] ὁ[dnfs] χάρις[nnfs] μετά[p] πᾶς[agmpn] σύ[rpg-p] ἀμήν[th] πρός[p] Τίτος[nams] ὁ[dgfs] Κρής[ngmp] ἐκκλησία[ngfs] πρῶτος[aamsn] ἐπίσκοπος[nams] χειροτονέω[vpapams] γράφω[viap3s] ἀπό[p] Νικόπολις[ngfs] ὁ[dgfs] Μακεδονία[ngfs].

Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς **1**
Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν. καὶ Ἀπφίᾳ τῇ ἀ- 2
γαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ οἶκόν
σου ἐκκλησίᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν 3
καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε 4
μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου. ἀκούων σου 5
τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν
καὶ εἰς πάντας τοὺς ἁγίους. ὅπως ἡ κοινωνία τῆς πίστεώς σου 6
ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς
Χριστόν Ἰησοῦν. χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν 7
ἐπὶ τῇ ἀγάπῃ σου ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ
σοῦ ἀδελφέ. Διό πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν 8
σοι τὸ ἀνῆκον. διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ τοιοῦτος 9
ὢν ὡς Παῦλος πρεσβύτης νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ, Χριστοῦ.
παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου ὃν ἐγέννησα ἐν τοῖς δε- 10
σμοῖς μου, Ὀνήσιμον. τόν ποτέ σοι ἄχρηστον νυνὶ δὲ σοὶ καὶ 11
ἐμοὶ εὔχρηστον. ὃν ἀνέπεμψά σου δὲ αὐτόν τοῦτ᾽ἔστιν τὰ ἐμὰ 12
σπλάγχνα, πρὸσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέ- 13
χειν ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου.

---

1. **v.1** Παῦλος^{nnms} δέσμιος^{nnms} Χριστός^{ngms} Ἰησοῦς^{ngms} καί^{c} Τιμόθεος^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} Φιλήμων^{ndms} ὁ^{ddms} ἀγαπητός^{admsn} καί^{c} συνεργός^{admsn} ἐγώ$^{rpg\text{-}p}$. **v.2** καί^{c} Ἀπφία^{ndfs} ὁ^{ddfs} ἀγαπητός^{adfsn} καί^{c} Ἄρχιππος^{ndms} ὁ^{ddms} συστρατιώτης^{ndms} ἐγώ$^{rpg\text{-}p}$ καί^{c} ὁ^{ddfs} κατά^{p} οἶκος^{nams} σύ$^{rpg\text{-}s}$ ἐκκλησία^{ndfs}. **v.3** χάρις^{nnfs} σύ$^{rpd\text{-}p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg\text{-}p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.4** εὐχαριστέω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg\text{-}s}$ πάντοτε^{bo} μνεία^{nafs} σύ$^{rpg\text{-}s}$ ποιέω^{vppmnms} ἐπί^{p} ὁ^{dgfp} προσευχή^{ngfp} ἐγώ$^{rpg\text{-}s}$. **v.5** ἀκούω^{vppanms} σύ$^{rpg\text{-}s}$ ὁ^{dafs} ἀγάπη^{nafs} καί^{c} ὁ^{dafs} πίστις^{nafs} ὅς^{rrafs} ἔχω^{vipa2s} πρός^{p} ὁ^{dams} κύριος^{nams} Ἰησοῦς^{nams} καί^{c} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἅγιος^{aampn}. **v.6** ὅπως^{bo} ὁ^{dnfs} κοινωνία^{nnfs} ὁ^{dgfs} πίστις^{ngfs} σύ$^{rpg\text{-}s}$ ἐνεργής^{anfsn} γίνομαι^{vsad3s} ἐν^{p} ἐπίγνωσις^{ndfs} πᾶς^{agnsn} ἀγαθός^{agnsn} ὁ^{dgns} ἐν^{p} σύ$^{rpd\text{-}p}$ εἰς^{p} Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.7** χάρις^{nafs} γάρ^{c} ἔχω^{vipa1p} πολύς^{aafsn} καί^{c} παράκλησις^{nafs} ἐπί^{p} ὁ^{ddfs} ἀγάπη^{ndfs} σύ$^{rpg\text{-}s}$ ὅτι^{c} ὁ^{dnnp} σπλάγχνον^{nnnp} ὁ^{dgmp} ἅγιος^{agmpn} ἀναπαύω^{vixp3s} διά^{p} σύ$^{rpg\text{-}s}$ ἀδελφός^{nvms}. **v.8** διό^{c} πολύς^{aafsn} ἐν^{p} Χριστός^{ndms} παρρησία^{nafs} ἔχω^{vppanms} ἐπιτάσσω^{vnpa} σύ$^{rpd\text{-}s}$ ὁ^{dans} ἀνήκω^{vppaans}. **v.9** διά^{p} ὁ^{dafs} ἀγάπη^{nafs} μᾶλλον^{bo} παρακαλέω^{vipa1s} τοιοῦτος^{rdnms} εἰμί^{vppxnms} ὡς^{bo} Παῦλος^{nnms} πρεσβύτης^{nnms} νυνί^{bo} δέ^{c} καί^{c} δέσμιος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.10** παρακαλέω^{vipa1s} σύ$^{rpa\text{-}s}$ περί^{p} ὁ^{dgms} ἐμός$^{rpg\text{-}s}$ τέκνον^{ngns} ὅς^{rrams} γεννάω^{viaa1s} ἐν^{p} ὁ^{ddmp} δεσμός^{ndmp} ἐγώ$^{rpg\text{-}s}$ Ὀνήσιμος^{nams}. **v.11** ὁ^{dams} ποτέ^{xo} σύ$^{rpd\text{-}s}$ ἄχρηστος^{aamsn} νυνί^{bo} δέ^{c} σύ$^{rpd\text{-}s}$ καί^{c} ἐγώ$^{rpd\text{-}s}$ εὔχρηστος^{aamsn}. **v.12** ὅς^{rrams} ἀναπέμπω^{viaa1s} σύ$^{rpn\text{-}s}$ δέ^{c} αὐτός^{rpams} εἰμί^{irdnns} ὁ^{dnnp} ἐμός^{rsnnp} σπλάγχνον^{nnnp} προσλαμβάνω^{vdam2s}. **v.13** ὅς^{rrams} ἐγώ$^{rpn\text{-}s}$ βούλομαι^{viin1s} πρός^{p} ἐμαυτοῦ^{rxams} κατέχω^{vnpa} ἵνα^{c} ὑπέρ^{p} σύ$^{rpg\text{-}s}$ διακονέω^{vspa3s} ἐγώ$^{rpd\text{-}s}$ ἐν^{p} ὁ^{ddmp} δεσμός^{ndmp} ὁ^{dgns} εὐαγγέλιον^{ngns}.

14 χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι ἵνα μὴ ὡς
15 κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον. τάχα
γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς.
16 οὐκέτι ὡς δοῦλον ἀλλ᾽ ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητόν μάλιστα
17 ἐμοί πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ. Εἰ οὖν
18 ἐμέ ἔχεις κοινωνόν προσλαβοῦ αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέν
19 σε ἢ ὀφείλει τοῦτο ἐμοὶ ἐλλόγει, ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ
χειρί ἐγὼ ἀποτίσω, ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσ-
20 οφείλεις. ναί ἀδελφέ ἐγώ σου ὀναίμην ἐν κυρίῳ, ἀνάπαυσόν
21 μου τὰ σπλάγχνα ἐν Κυρίῳ, Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά
22 σοι εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. ἅμα δὲ καὶ ἑτοίμαζέ
μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθή-
23 σομαι ὑμῖν. Ἀσπάζονταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου
24 ἐν Χριστῷ Ἰησοῦ. Μᾶρκος Ἀρίσταρχος Δημᾶς Λουκᾶς οἱ συν-
25 εργοί μου. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ
πνεύματος ὑμῶν ἀμήν. [πρός Φιλήμονα ἐγράφη ἀπό Ῥωμης
διά Ὀνησίμου οἰκέτου]

---

v.14 χωρίς^{bo} δέ^{c} ὁ^{dgfs} σός^{rsgfs} γνώμη^{ngfs} οὐδείς^{aansn} θέλω^{viaa1s} ποιέω^{vnaa} ἵνα^{c} μή^{xo} ὡς^{bo} κατά^{p} ἀνάγκη^{nafs} ὁ^{dnns} ἀγαθός^{annsn} σύ$^{rpg-s}$ εἰμί^{vspx3s} ἀλλά^{c} κατά^{p} ἑκούσιος^{aansn}. **v.15** τάχα^{bo} γάρ^{c} διά^{p} οὗτος^{rdans} χωρίζω^{viap3s} πρός^{p} ὥρα^{nafs} ἵνα^{c} αἰώνιος^{aamsn} αὐτός^{rpams} ἀπέχω^{vipa2s}. **v.16** οὐκέτι^{bo} ὡς^{bo} δοῦλος^{nams} ἀλλά^{c} ὑπέρ^{p} δοῦλος^{nams} ἀδελφός^{nams} ἀγαπητός^{aamsn} μάλιστα^{bo} ἐγώ$^{rpd-s}$ πόσος^{rodns} δέ^{c} μᾶλλον^{bo} σύ$^{rpd-s}$ καί^{c} ἐν^{p} σάρξ^{ndfs} καί^{c} ἐν^{p} κύριος^{ndms}. **v.17** εἰ^{qo} οὖν^{c} ἐγώ$^{rpa-s}$ ἔχω^{vipa2s} κοινωνός^{aamsn} προσλαμβάνω^{vdam2s} αὐτός^{rpams} ὡς^{bo} ἐγώ$^{rpa-s}$. **v.18** εἰ^{qo} δέ^{c} τι-σριανσ ἀδικέω^{viaa3s} σύ$^{rpa-s}$ ἤ^{xo} ὀφείλω^{vipa3s} οὗτος^{rdans} ἐγώ$^{rpd-s}$ ἐλλογέω^{vdpa2s}. **v.19** ἐγώ$^{rpn-s}$ Παῦλος^{nnms} γράφω^{viaa1s} ὁ^{ddfs} ἐμός^{rsdfs} χείρ^{ndfs} ἐγώ$^{rpn-s}$ ἀποτίνω^{vifa1s} ἵνα^{c} μή^{xo} λέγω^{vspa1s} σύ$^{rpd-s}$ ὅτι^{c} καί^{c} σεαυτοῦ^{rxams} ἐγώ$^{rpd-s}$ προσοφείλω^{vipa2s}. **v.20** ναί^{xo} ἀδελφός^{nvms} ἐγώ$^{rpn-s}$ σύ$^{rpg-s}$ ὀνίναμαι^{voad1s} ἐν^{p} κύριος^{ndms} ἀναπαύω^{vdaa2s} ἐγώ$^{rpg-s}$ ὁ^{danp} σπλάγχνον^{nanp} ἐν^{p} κύριος^{ndms}. **v.21** πείθω^{vpxanms} ὁ^{ddfs} ὑπακοή^{ndfs} σύ$^{rpg-s}$ γράφω^{viaa1s} σύ$^{rpd-s}$ οἶδα^{vpxanms} ὅτι^{c} καί^{c} ὑπέρ^{p} ὅς^{rrans} λέγω^{vipa1s} ποιέω^{vifa2s}. **v.22** ἅμα^{bo} δέ^{c} καί^{c} ἑτοιμάζω^{vdpa2s} ἐγώ$^{rpd-s}$ ξενία^{nafs} ἐλπίζω^{vipa1s} γάρ^{c} ὅτι^{c} διά^{p} ὁ^{dgfp} προσευχή^{ngfp} σύ$^{rpg-p}$ χαρίζομαι^{vifp1s} σύ$^{rpd-p}$. **v.23** ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-s}$ Ἐπαφρᾶς^{nnms} ὁ^{dnms} συναιχμάλωτος^{anmsn} ἐγώ$^{rpg-s}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.24** Μᾶρκος^{nnms} Ἀρίσταρχος^{nnms} Δημᾶς^{nnms} Λουκᾶς^{nnms} ὁ^{dnmp} συνεργός^{anmpn} ἐγώ$^{rpg-s}$. **v.25** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg-p}$ ἀμήνth πρός^{p} Φιλήμων^{nams} γράφω^{viap3s} ἀπό^{p} Ῥωμη^{ngfs} διά^{p} Ὀνήσιμος^{ngms} οἰκέτης^{ngms}.

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πα- **1**
τράσιν ἐν τοῖς προφήταις. ἐπ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλά- 2
λησεν ἡμῖν ἐν υἱῷ ὃν ἔθηκεν κληρονόμον πάντων δι᾽ οὗ καὶ τοὺς
αἰῶνας, ἐποίησεν. ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ 3
τῆς ὑποστάσεως αὐτοῦ φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνά-
μεως αὐτοῦ δι᾽ εαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν
ημῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. το- 4
σούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων ὅσῳ διαφορώτερον παρ
αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέν ποτε τῶν ἀγ- 5
γέλων Υἱός μου εἶ σύ ἐγὼ σήμερον γεγέννηκά σε καὶ πάλιν Ἐγὼ
ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. ὅταν δὲ 6
πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει Καὶ
προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. καὶ πρὸς μὲν 7
τοὺς ἀγγέλους λέγει Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα
καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν υἱόν 8
Ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ῥάβδος εὐθύ-
τητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην 9
καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέν σε ὁ θεὸς ὁ θεός σου
ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καί Σὺ κατ ἀρ- 10
χάς κύριε τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν

---

1. v.1 πολυμερῶς^{bo} καί^{c} πολυτρόπως^{bo} πάλαι^{bo} ὁ^{dnms} θεός^{nnms} λαλέω^{vpaanms} ὁ^{ddmp} πατήρ^{ndmp} ἐν^{p} ὁ^{ddmp} προφήτης^{ndmp}. **v.2** ἐπί^{p} ἔσχατος^{agfpn} ὁ^{dgfp} ἡμέρα^{ngfp} οὗτος^{rdgfp} λαλέω^{viaa3s} ἐγώ$^{rpd-p}$ ἐν^{p} υἱός^{ndms} ὅς^{rrams} τίθημι^{viaa3s} κληρονόμος^{nams} πᾶς^{agnpn} διά^{p} ὅς^{rrgms} καί^{c} ὁ^{damp} αἰών^{namp} ποιέω^{viaa3s}. **v.3** ὅς^{rrnms} εἰμί^{vppxnms} ἀπαύγασμα^{nnns} ὁ^{dgfs} δόξα^{ngfs} καί^{c} χαρακτήρ^{nnms} ὁ^{dgfs} ὑπόστασις^{ngfs} αὐτός^{rpgms} φέρω^{vppanms} τέ^{xo} ὁ^{danp} πᾶς^{aanpn} ὁ^{ddns} ῥῆμα^{ndns} ὁ^{dgfs} δύναμις^{ngfs} αὐτός^{rpgms} διά^{p} ἑαυτοῦ^{rxgms} καθαρισμός^{nams} ποιέω^{vpamnms} ὁ^{dgfp} ἁμαρτία^{ngfp} ἐγώ$^{rpg-p}$ καθίζω^{viaa3s} ἐν^{p} δεξιός^{adfsn} ὁ^{dgfs} μεγαλωσύνη^{ngfs} ἐν^{p} ὑψηλός^{adnpn}. **v.4** τοσοῦτος^{rddms} κρείττων^{anmsn} γίνομαι^{vpadnms} ὁ^{dgmp} ἄγγελος^{ngmp} ὅσος^{rcdns} διάφορος^{aansc} παρά^{p} αὐτός^{rpamp} κληρονομέω^{vixa3s} ὄνομα^{nans}. **v.5** τίς^{rqdms} γάρ^{c} λέγω^{viaa3s} ποτέ^{xo} ὁ^{dgmp} ἄγγελος^{ngmp} υἱός^{nnms} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx2s} σύ$^{rpn-s}$ ἐγώ$^{rpn-s}$ σήμερον^{bo} γεννάω^{vixa1s} σύ$^{rpa-s}$ καί^{c} πάλιν^{bo} ἐγώ$^{rpn-s}$ εἰμί^{vifx1s} αὐτός^{rpdms} εἰς^{p} πατήρ^{nams} καί^{c} αὐτός^{rpnms} εἰμί^{vifx3s} ἐγώ$^{rpd-s}$ εἰς^{p} υἱός^{nams}. **v.6** ὅταν^{c} δέ^{c} πάλιν^{bo} εἰσάγω^{vsaa3s} ὁ^{dams} πρωτότοκος^{aamsn} εἰς^{p} ὁ^{dafs} οἰκουμένη^{nafs} λέγω^{vipa3s} καί^{c} προσκυνέω^{vdaa3p} αὐτός^{rpdms} πᾶς^{anmpn} ἄγγελος^{nnmp} θεός^{ngms}. **v.7** καί^{c} πρός^{p} μέν^{xo} ὁ^{damp} ἄγγελος^{namp} λέγω^{vipa3s} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{damp} ἄγγελος^{namp} αὐτός^{rpgms} πνεῦμα^{nanp} καί^{c} ὁ^{damp} λειτουργός^{namp} αὐτός^{rpgms} πῦρ^{ngns} φλόξ^{nafs}. **v.8** πρός^{p} δέ^{c} ὁ^{dams} υἱός^{nams} ὁ^{dnms} θρόνος^{nnms} σύ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnms} εἰς^{p} ὁ^{dams} αἰών^{nams} ὁ^{dgms} αἰών^{ngms} ῥάβδος^{nnfs} εὐθύτης^{ngfs} ὁ^{dnfs} ῥάβδος^{nnfs} ὁ^{dgfs} βασιλεία^{ngfs} σύ$^{rpg-s}$. **v.9** ἀγαπάω^{viaa2s} δικαιοσύνη^{nafs} καί^{c} μισέω^{viaa2s} ἀνομία^{nafs} διά^{p} οὗτος^{rdans} χρίω^{viaa3s} σύ$^{rpa-s}$ ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} θεός^{nnms} σύ$^{rpg-s}$ ἔλαιον^{nans} ἀγαλλίασις^{ngfs} παρά^{p} ὁ^{damp} μέτοχος^{aampn} σύ$^{rpg-s}$.

11 οἱ οὐρανοί, αὐτοὶ ἀπολοῦνται σὺ δὲ διαμένεις καὶ πάντες ὡς
12 ἱμάτιον παλαιωθήσονται. καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς
καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκ-
13 λείψουσιν. πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε Κάθου ἐκ
δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
14 σου. οὐχὶ πάντες εἰσὶν λειτουργικὰ πνεύματα εἰς διακονίαν
ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

2 Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖ-
2 σιν μήποτε παραρρυῶμεν. εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λό-
γος ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν
3 ἔνδικον μισθαποδοσίαν. πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης
ἀμελήσαντες σωτηρίας ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ
4 κυρίου ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη. συνεπι-
μαρτυροῦντος τοῦ θεοῦ σημείοις τε καὶ τέρασιν καὶ ποικίλαις
δυνάμεσιν καὶ πνεύματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέ-
5 λησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλ-
6 λουσαν περὶ ἧς λαλοῦμεν. διεμαρτύρατο δέ πού τις λέγων Τί
ἐστιν ἄνθρωπος ὅτι μιμνῄσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπι-
7 σκέπτῃ αὐτόν. ἠλάττωσας αὐτὸν βραχύ τι παρ ἀγγέλους δόξῃ
καὶ τιμῇ ἐστεφάνωσας αὐτόν καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα
8 τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ

---

v.10 καί[c] σύ[rpn-s] κατά[p] ἀρχή[nafp] κύριος[nvms] ὁ[dafs] γῆ[nafs] θεμελιόω[viaa2s] καί[c] ἔργον[nnnp] ὁ[dgfp] χείρ[ngfp] σύ[rpg-s] εἰμί[vipx3p] ὁ[dnmp] οὐρανός[nnmp]. **v.11** αὐτός[rpnmp] ἀπόλλυμι[vifm3p] σύ[rpn-s] δέ[c] διαμένω[vipa2s] καί[c] πᾶς[anmpn] ὡς[bo] ἱμάτιον[nnns] παλαιόω[vifp3p]. **v.12** καί[c] ὡσεί[bo] περιβόλαιον[nnns] ἑλίσσω[vifa2s] αὐτός[rpamp] καί[c] ἀλλάσσω[vifp3p] σύ[rpn-s] δέ[c] ὁ[dnms] αὐτός[rpnms] εἰμί[vipx2s] καί[c] ὁ[dnnp] ἔτος[nnnp] σύ[rpg-s] οὐ[xo] ἐκλείπω[vifa3p]. **v.13** πρός[p] τίς[rqams] δέ[c] ὁ[dgmp] ἄγγελος[ngmp] λέγω[vixa3s] ποτέ[xo] κάθημαι[vdpn2s] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s] ἕως[c] ἄν[xo] τίθημι[vsaa1s] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-s] ὑποπόδιον[nans] ὁ[dgmp] πούς[ngmp] σύ[rpg-s]. **v.14** οὐχί[xo] πᾶς[anmpn] εἰμί[vipx3p] λειτουργικός[annpn] πνεῦμα[nnnp] εἰς[p] διακονία[nafs] ἀποστέλλω[vpppnnp] διά[p] ὁ[damp] μέλλω[vppaamp] κληρονομέω[vnpa] σωτηρία[nafs]. **2. v.1** διά[p] οὗτος[rdans] δεῖ[vipq3s] περισσοτέρως[bo] ἐγώ[rpa-p] προσέχω[vnpa] ὁ[ddnp] ἀκούω[vpapdnp] μήποτε[bo] παραρρέω[vsaa1p]. **v.2** εἰ[qo] γάρ[c] ὁ[dnms] διά[p] ἄγγελος[ngmp] λαλέω[vpapnms] λόγος[nnms] γίνομαι[viad3s] βέβαιος[anmsn] καί[c] πᾶς[anfsn] παράβασις[nnfs] καί[c] παρακοή[nnfs] λαμβάνω[viaa3s] ἔνδικος[aafsn] μισθαποδοσία[nafs]. **v.3** πῶς[bo] ἐγώ[rpn-p] ἐκφεύγω[vifd1p] τηλικοῦτος[rdgfs] ἀμελέω[vpaanmp] σωτηρία[ngfs] ὅστις[rrnfs] ἀρχή[nafs] λαμβάνω[vpaanfs] λαλέω[vnpp] διά[p] ὁ[dgms] κύριος[ngms] ὑπό[p] ὁ[dgmp] ἀκούω[vpaagmp] εἰς[p] ἐγώ[rpa-p] βεβαιόω[viap3s]. **v.4** συνεπιμαρτυρέω[vppagms] ὁ[dgms] θεός[ngms] σημεῖον[ndnp] τέ[xo] καί[c] τέρας[ndnp] καί[c] ποικίλος[adfpn] δύναμις[ndfp] καί[c] πνεῦμα[ngns] ἅγιος[agnsn] μερισμός[ndmp] κατά[p] ὁ[dafs] αὐτός[rpgms] θέλησις[nafs]. **v.5** οὐ[xo] γάρ[c] ἄγγελος[ndmp] ὑποτάσσω[viaa3s] ὁ[dafs] οἰκουμένη[nafs] ὁ[dafs] μέλλω[vppaafs] περί[p] ὅς[rrgfs] λαλέω[vipa1p]. **v.6** διαμαρτύρομαι[viad3s] δέ[c] πού[xo] τι-σ-ρινμσ λέγω[vppanms] τίς[rqnns] εἰμί[vipx3s] ἄνθρωπος[nnms] ὅτι[c] μιμνῄσκομαι[vipn2s] αὐτός[rpgms] ἤ[xo] υἱός[nnms] ἄνθρωπος[ngms] ὅτι[c] ἐπισκέπτομαι[vipn2s] αὐτός[rpams]. **v.7** ἐλαττόω[viaa2s] αὐτός[rpams] βραχύς[aansn] τι-σριανσ παρά[p] ἄγγελος[namp] δόξα[ndfs] καί[c] τιμή[ndfs] στεφανόω[viaa2s] αὐτός[rpams] καί[c] καθίστημι[viaa2s] αὐτός[rpams] ἐπί[p] ὁ[danp] ἔργον[nanp] ὁ[dgfp] χείρ[ngfp] σύ[rpg-s].

ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυ-
πότακτον νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα,
τὸν δὲ βραχύ τι παρ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν 9
διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον ὅ-
πως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπεν 10
γὰρ αὐτῷ δι᾽ ὃν τὰ πάντα καὶ δι᾽ οὗ τὰ πάντα πολλοὺς υἱοὺς
εἰς δόξαν ἀγαγόντα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ πα-
θημάτων τελειῶσαι. ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ 11
ἑνὸς πάντες, δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς
καλεῖν. λέγων Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου ἐν 12
μέσῳ ἐκκλησίας ὑμνήσω σε. καὶ πάλιν Ἐγὼ ἔσομαι πεποι- 13
θὼς ἐπ αὐτῷ καὶ πάλιν Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν
ὁ θεός. ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν σαρκὸς καὶ αἵματος 14
καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν ἵνα διὰ τοῦ θα-
νάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τοῦτ᾽ἔστιν
τὸν διάβολον. καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ 15
παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου ἀγγέλων 16
ἐπιλαμβάνεται ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν 17
ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι ἵνα ἐλεήμων γέ-
νηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν εἰς τὸ ἱλάσκεσθαι
τὰς ἁμαρτίας τοῦ λαοῦ. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς 18

---

v.8 πᾶς^{aanpn} ὑποτάσσω^{viaa2s} ὑποκάτω^{bo} ὁ^{dgmp} πούς^{ngmp} αὐτός^{rpgms} ἐν^{p} γάρ^{c} ὁ^{ddms} ὑποτάσσω^{vnaa} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} οὐδείς^{aansn} ἀφίημι^{viaa3s} αὐτός^{rpdms} ἀνυπότακτος^{aansn} νῦν^{bo} δέ^{c} οὔπω^{bo} ὁράω^{vipa1p} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} ὑποτάσσω^{vpxpanp}.
v.9 ὁ^{dams} δέ^{c} βραχύς^{aansn} τι-σριανσ παρά^{p} ἄγγελος^{namp} ἐλαττόω^{vpxpams} βλέπω^{vipa1p} Ἰησοῦς^{nams} διά^{p} ὁ^{dans} πάθημα^{nans} ὁ^{dgms} θάνατος^{ngms} δόξα^{ndfs} καί^{c} τιμή^{ndfs} στεφανόω^{vpxpams} ὅπως^{bo} χάρις^{ndfs} θεός^{ngms} ὑπέρ^{p} πᾶς^{agmsn} γεύομαι^{vsad3s} θάνατος^{ngms}. **v.10** πρέπω^{viia3s} γάρ^{c} αὐτός^{rpdms} διά^{p} ὅς^{rrams} ὁ^{dnnp} πᾶς^{annpn} καί^{c} διά^{p} ὅς^{rrgms} ὁ^{dnnp} πᾶς^{annpn} πολύς^{aampn} υἱός^{namp} εἰς^{p} δόξα^{nafs} ἄγω^{vpaaams} ὁ^{dams} ἀρχηγός^{nams} ὁ^{dgfs} σωτηρία^{ngfs} αὐτός^{rpgmp} διά^{p} πάθημα^{ngnp} τελειόω^{vnaa}. **v.11** ὁ^{dnms} τέ^{xo} γάρ^{c} ἁγιάζω^{vppanms} καί^{c} ὁ^{dnmp} ἁγιάζω^{vpppnmp} ἐκ^{p} εἷς^{ngms} πᾶς^{anmpn} διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} οὐ^{xo} ἐπαισχύνομαι^{vipn3s} ἀδελφός^{namp} αὐτός^{rpamp} καλέω^{vnpa}. **v.12** λέγω^{vppanms} ἀπαγγέλλω^{vifa1s} ὁ^{dans} ὄνομα^{nans} σύ$^{rpg-s}$ ὁ^{ddmp} ἀδελφός^{ndmp} ἐγώ$^{rpg-s}$ ἐν^{p} μέσος^{adnsn} ἐκκλησία^{ngfs} ὑμνέω^{vifa1s} σύ$^{rpa-s}$. **v.13** καί^{c} πάλιν^{bo} ἐγώ$^{rpn-s}$ εἰμί^{vifx1s} πείθω^{vpxanms} ἐπί^{p} αὐτός^{rpdms} καί^{c} πάλιν^{bo} ἰδού^{vdaa2s} ἐγώ$^{rpn-s}$ καί^{c} ὁ^{dnnp} παιδίον^{nnnp} ὅς^{rranp} ἐγώ$^{rpd-s}$ δίδωμι^{viaa3s} ὁ^{dnms} θεός^{nnms}. **v.14** ἐπεί^{c} οὖν^{c} ὁ^{dnnp} παιδίον^{nnnp} κοινωνέω^{vixa3s} σάρξ^{ngfs} καί^{c} αἷμα^{ngns} καί^{c} αὐτός^{rpnms} παραπλησίως^{bo} μετέχω^{viaa3s} ὁ^{dgnp} αὐτός^{rpgnp} ἵνα^{c} διά^{p} ὁ^{dgms} θάνατος^{ngms} καταργέω^{vsaa3s} ὁ^{dams} ὁ^{dans} κράτος^{nans} ἔχω^{vppaams} ὁ^{dgms} θάνατος^{ngms} εἰμί^{rdnns} ὁ^{dams} διάβολος^{aamsn}. **v.15** καί^{c} ἀπαλλάσσω^{vsaa3s} οὗτος^{rdamp} ὅσος^{rcnmp} φόβος^{ndms} θάνατος^{ngms} διά^{p} πᾶς^{agmsn} ὁ^{dgms} ζάω^{vnpa} ἔνοχος^{anmpn} εἰμί^{viix3p} δουλεία^{ngfs}. **v.16** οὐ^{xo} γάρ^{c} δήπου^{bo} ἄγγελος^{ngmp} ἐπιλαμβάνομαι^{vipn3s} ἀλλά^{c} σπέρμα^{ngns} Ἀβραάμ^{tp} ἐπιλαμβάνομαι^{vipn3s}.
v.17 ὅθεν^{bo} ὀφείλω^{viia3s} κατά^{p} πᾶς^{aanpn} ὁ^{ddmp} ἀδελφός^{ndmp} ὁμοιόω^{vnap} ἵνα^{c} ἐλεήμων^{anmsn} γίνομαι^{vsad3s} καί^{c} πιστός^{anmsn} ἀρχιερεύς^{nnms} ὁ^{danp} πρός^{p} ὁ^{dams} θεός^{nams} εἰς^{p} ὁ^{dans} ἱλάσκομαι^{vnpp} ὁ^{dafp} ἁμαρτία^{nafp} ὁ^{dgms} λαός^{ngms}.

δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

3 Ὅθεν ἀδελφοὶ ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν
2 Ἰησοῦν. πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς καὶ Μωσῆς ἐν
3 ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν
ἠξίωται καθ ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευ-
4 άσας αὐτόν, πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος ὁ δὲ
5 τὰ πάντα κατασκευάσας θεός. καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ
τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων.
6 Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡ-
μεῖς ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι
7 τέλους βεβαίαν κατάσχωμεν. Διό καθὼς λέγει τὸ πνεῦμα τὸ ἅ-
8 γιον Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε. μὴ σκληρύνητε
τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν
9 τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασαν με οἱ πατέρες ὑ-
μῶν ἐδοκιμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη,
10 διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον Ἀεὶ πλανῶνται τῇ
11 καρδίᾳ αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ
12 ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Βλέπετε
ἀδελφοί μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας
13 ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος. ἀλλὰ παρακαλεῖτε ἑαυ-

---

v.18 ἐν[p] ὅς[rrdns] γάρ[c] πάσχω[vixa3s] αὐτός[rpnms] πειράζω[vpapnms] δύναμαι[vipn3s] ὁ[ddmp] πειράζω[vpppdmp] βοηθέω[vnaa]. **3. v.1** ὅθεν[bo] ἀδελφός[nvmp] ἅγιος[avmpn] κλῆσις[ngfs] ἐπουράνιος[agfsn] μέτοχος[anmpn] κατανοέω[vdaa2p] ὁ[dams] ἀπόστολος[nams] καί[c] ἀρχιερεύς[nams] ὁ[dgfs] ὁμολογία[ngfs] ἐγώ[rpg-p] Χριστός[nams] Ἰησοῦς[nams]. **v.2** πιστός[aamsn] εἰμί[vppxams] ὁ[ddms] ποιέω[vpaadms] αὐτός[rpams] ὡς[bo] καί[c] Μωϋσῆς[nnms] ἐν[p] ὅλος[admsn] ὁ[ddms] οἶκος[ndms] αὐτός[rpgms]. **v.3** πολύς[agfsc] γάρ[c] δόξα[ngfs] οὗτος[rdnms] παρά[p] Μωϋσῆς[nams] ἀξιόω[vixp3s] κατά[p] ὅσος[rcans] πολύς[aafsc] τιμή[nafs] ἔχω[vipa3s] ὁ[dgms] οἶκος[ngms] ὁ[dnms] κατασκευάζω[vpaanms] αὐτός[rpams]. **v.4** πᾶς[anmsn] γάρ[c] οἶκος[nnms] κατασκευάζω[vipp3s] ὑπό[p] τι-σριγμσ ὁ[dnms] δέ[c] ὁ[danp] πᾶς[aanpn] κατασκευάζω[vpaanms] θεός[nnms]. **v.5** καί[c] Μωϋσῆς[nnms] μέν[xo] πιστός[anmsn] ἐν[p] ὅλος[admsn] ὁ[ddms] οἶκος[ndms] αὐτός[rpgms] ὡς[bo] θεράπων[nnms] εἰς[p] μαρτύριον[nans] ὁ[dgnp] λαλέω[vpfpgnp]. **v.6** Χριστός[nnms] δέ[c] ὡς[bo] υἱός[nnms] ἐπί[p] ὁ[dams] οἶκος[nams] αὐτός[rpgms] ὅς[rrgms] οἶκος[nnms] εἰμί[vipx1p] ἐγώ[rpn-p] ἐάνπερ[qo] ὁ[dafs] παρρησία[nafs] καί[c] ὁ[dans] καύχημα[nans] ὁ[dgfs] ἐλπίς[ngfs] μέχρι[bo] τέλος[ngns] βέβαιος[aafsn] κατέχω[vsaa1p]. **v.7** διό[c] καθώς[bo] λέγω[vipa3s] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] σήμερον[bo] ἐάν[qo] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vsaa2p]. **v.8** μή[xo] σκληρύνω[vspa2p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p] ὡς[bo] ἐν[p] ὁ[ddms] παραπικρασμός[ndms] κατά[p] ὁ[dafs] ἡμέρα[nafs] ὁ[dgms] πειρασμός[ngms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn]. **v.9** ὅς[bo] πειράζω[viaa3p] ἐγώ[rpa-s] ὁ[dnmp] πατήρ[nnmp] σύ[rpg-p] δοκιμάζω[viaa3p] ἐγώ[rpa-s] καί[c] ὁράω[viaa3p] ὁ[danp] ἔργον[nanp] ἐγώ[rpg-s] τεσσεράκοντα[tn] ἔτος[nanp]. **v.10** διό[c] προσοχθίζω[viaa1s] ὁ[ddfs] γενεά[ndfs] ἐκεῖνος[rddfs] καί[c] λέγω[viaa1s] ἀεί[bo] πλανάω[vipp3p] ὁ[ddfs] καρδία[ndfs] αὐτός[rpnmp] δέ[c] οὐ[xo] γινώσκω[viaa3p] ὁ[dafp] ὁδός[nafp] ἐγώ[rpg-s]. **v.11** ὡς[bo] ὀμνύω[viaa1s] ἐν[p] ὁ[ddfs] ὀργή[ndfs] ἐγώ[rpg-s] εἰ[qo] εἰσέρχομαι[vifd3p] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ἐγώ[rpg-s]. **v.12** βλέπω[vdpa2p] ἀδελφός[nvmp] μήποτε[bo] εἰμί[vifx3s] ἐν[p] τι-σριδμσ σύ[rpg-p] καρδία[nnfs] πονηρός[anfsn] ἀπιστία[ngfs] ἐν[p] ὁ[ddms] ἀφίστημι[vnaa] ἀπό[p] θεός[ngms] ζάω[vppagms].

τοὺς καθ ἑκάστην ἡμέραν ἄχρις οὗ τὸ Σήμερον καλεῖται ἵνα
μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. μέτοχοι γὰρ 14
γεγόναμεν τοῦ Χριστοῦ ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέ-
χρι τέλους βεβαίαν κατάσχωμεν. ἐν τῷ λέγεσθαι Σήμερον ἐὰν 15
τῆς φωνῆς αὐτοῦ ἀκούσητε Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν
ὡς ἐν τῷ παραπικρασμῷ. τίνες γὰρ ἀκούσαντες παρεπίκραναν 16
ἀλλ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως. τίσιν 17
δὲ προσώχθισεν τεσσαράκοντα ἔτη οὐχὶ τοῖς ἁμαρτήσασιν ὧν
τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ. τίσιν δὲ ὤμοσεν μὴ εἰσελεύσε- 18
σθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς ἀπειθήσασιν. καὶ 19
βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν.

Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελ- **4**
θεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.
καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι, ἀλλ οὐκ ὠ- 2
φέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένος τῇ
πίστει τοῖς ἀκούσασιν. εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν 3
οἱ πιστεύσαντες καθὼς εἴρηκεν Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου Εἰ
εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου καίτοι τῶν ἔργων ἀπὸ
καταβολῆς κόσμου γενηθέντων. εἴρηκεν γάρ που περὶ τῆς ἑ- 4
βδόμης οὕτως Καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ
ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. καὶ ἐν τούτῳ πάλιν Εἰ εἰσελεύ- 5

---

v.13 ἀλλάc παρακαλέωvdpa2p ἑαυτοῦrxamp κατάp ἕκαστοςaafsn ἡμέραnafs ἄχριp ὅςbo ὁdans σήμερονbo καλέωvipp3s ἵναc μήxo σκληρύνωvsap3s τι-σρινμσ ἐκp σύrpg-p ἀπάτηndfs ὁdgfs ἁμαρτίαngfs. **v.14** μέτοχοςanmpn γάρc γίνομαιvixa1p ὁdgms Χριστόςngms ἐάνπερqo ὁdafs ἀρχήnafs ὁdgfs ὑπόστασιςngfs μέχριbo τέλοςngns βέβαιοςaafsn κατέχωvsaa1p. **v.15** ἐνp ὁddms λέγωvnpp σήμερονbo ἐάνqo ὁdgfs φωνήngfs αὐτόςrpgms ἀκούωvsaa2p μήxo σκληρύνωvspa2p ὁdafp καρδίαnafp σύrpg-p ὡςbo ἐνp ὁddms παραπικρασμόςndms. **v.16** τίςrinmp γάρc ἀκούωvpaanmp παραπικραίνωviaa3p ἀλλάc οὐxo πᾶςanmpn ὁdnmp ἐξέρχομαιvpaanmp ἐκp Αἴγυπτοςngfs διάp Μωϋσῆςngms. **v.17** τίςrqdmp δέc προσοχθίζωviaa3s τεσσεράκονταtn ἔτοςnanp οὐχίxo ὁddmp ἁμαρτάνωvpaadmp ὅςrrgmp ὁdnnp κῶλονnnnp πίπτωviaa3s ἐνp ὁddfs ἔρημοςadfsn. **v.18** τίςrqdmp δέc ὀμνύωviaa3s μήxo εἰσέρχομαιvnfd εἰςp ὁdafs κατάπαυσιςnafs αὐτόςrpgms εἰqo μήxo ὁddmp ἀπειθέωvpaadmp. **v.19** καίc βλέπωvipa1p ὅτιc οὐxo δύναμαιviao3p εἰσέρχομαιvnaa διάp ἀπιστίαnafs. **4. v.1** φοβέομαιvsao1p οὖνc μήποτεbo καταλείπωvpppgfs ἐπαγγελίαngfs εἰσέρχομαιvnaa εἰςp ὁdafs κατάπαυσιςnafs αὐτόςrpgms δοκέωvspa3s τι-σρινμσ ἐκp σύrpg-p ὑστερέωvnxa. **v.2** καίc γάρc εἰμίvipx1p εὐαγγελίζωvpxpnmp καθάπερbo κἀκεῖνοςrdnmp ἀλλάc οὐxo ὠφελέωviaa3s ὁdnms λόγοςnnms ὁdgfs ἀκοήngfs ἐκεῖνοςrdamp μήxo συγκεράννυμιvpxpnms ὁddfs πίστιςndfs ὁddmp ἀκούωvpaadmp. **v.3** εἰσέρχομαιvipn1p γάρc εἰςp ὁdafs κατάπαυσιςnafs ὁdnmp πιστεύωvpaanmp καθώςbo λέγωvixa3s ὡςbo ὀμνύωviaa1s ἐνp ὁddfs ὀργῇndfs ἐγώrpg-s εἰqo εἰσέρχομαιvifd3p εἰςp ὁdafs κατάπαυσιςnafs ἐγώrpg-s καίτοιc ὁdgnp ἔργονngnp ἀπόp καταβολήngfs κόσμοςngms γίνομαιvpaognp. **v.4** λέγωvixa3s γάρc πούxo περίp ὁdgfs ἕβδομοςagfsn οὕτωbo καίc καταπαύωviaa3s ὁdnms θεόςnnms ἐνp ὁddfs ἡμέραndfs ὁddfs ἕβδομοςadfsn ἀπόp πᾶςagnpn ὁdgnp ἔργονngnp αὐτόςrpgms.

6 σονται εἰς τὴν κατάπαυσίν μου. ἐπεὶ οὖν ἀπολείπεται τινὰς
εἰσελθεῖν εἰς αὐτήν καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλ-
7 θον δι᾽ ἀπείθειαν. πάλιν τινὰ ὁρίζει ἡμέραν Σήμερον ἐν Δαβὶδ
λέγων μετὰ τοσοῦτον χρόνον καθὼς εἴρηται, Σήμερον ἐὰν τῆς
8 φωνῆς αὐτοῦ ἀκούσητε μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. εἰ
γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν οὐκ ἂν περὶ ἄλλης ἐλάλει με-
9 τὰ ταῦτα ἡμέρας. ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ
10 θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς
κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θε-
11 ός. σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν
12 ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. Ζῶν
γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν
μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε
καὶ πνεύματος ἁρμῶν τε καὶ μυελῶν καὶ κριτικὸς ἐνθυμήσεων
13 καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐ-
τοῦ πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ
14 πρὸς ὃν ἡμῖν ὁ λόγος. Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα
τοὺς οὐρανούς Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ κρατῶμεν τῆς
15 ὁμολογίας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπα-
θῆσαι ταῖς ἀσθενείαις ἡμῶν πεπειραμένον δὲ κατὰ πάντα καθ
16 ὁμοιότητα χωρὶς ἁμαρτίας. προσερχώμεθα οὖν μετὰ παρρη-
σίας τῷ θρόνῳ τῆς χάριτος ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρω-

---

10 καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς, ἐξ-
εδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν ἧς τεχνίτης καὶ
11 δημιουργὸς ὁ θεός. Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς κατα-
βολὴν σπέρματος ἔλαβεν καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ
12 πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. διὸ καὶ ἀφ ἑνὸς ἐγεννή-
θησαν καὶ ταῦτα νενεκρωμένου καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ
τῷ πλήθει καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀν-
13 αρίθμητος. Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες μὴ λαβόντες
τὰς ἐπαγγελίας ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ πεισθέντες,
καὶ ἀσπασάμενοι καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδη-
14 μοί εἰσιν ἐπὶ τῆς γῆς. οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν
15 ὅτι πατρίδα ἐπιζητοῦσιν. καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ
16 ἧς ἐξῆλθον εἶχον ἂν καιρὸν ἀνακάμψαι, νυνὶ δὲ κρείττονος
ὀρέγονται τοῦτ᾽ἔστιν ἐπουρανίου διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς
ὁ θεὸς θεὸς ἐπικαλεῖσθαι αὐτῶν, ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν.
17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος καὶ τὸν

---

v.7 πίστις^{ndfs} χρηματίζω^{vpapnms} Νῶε^{tp} περί^{p} ὁ^{dgnp} μηδέπω^{bo} βλέπω^{vpppgnp} εὐλαβέομαι^{vpapnms} κατασκευάζω^{viaa3s} κιβωτός^{nafs} εἰς^{p} σωτηρία^{nafs} ὁ^{dgms} οἶκος^{ngms} αὐτός^{rpgms} διά^{p} ὅς^{rrgfs} κατακρίνω^{viaa3s} ὁ^{dams} κόσμος^{nams} καί^{c} ὁ^{dgfs} κατά^{p} πίστις^{nafs} δικαιοσύνη^{ngfs} γίνομαι^{viad3s} κληρονόμος^{nnms}. **v.8** πίστις^{ndfs} καλέω^{vpppnms} Ἀβραάμ^{tp} ὑπακούω^{viaa3s} ἐξέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dams} τόπος^{nams} ὅς^{rrams} μέλλω^{viia3s} λαμβάνω^{vnpa} εἰς^{p} κληρονομία^{nafs} καί^{c} ἐξέρχομαι^{viaa3s} μή^{xo} ἐπίσταμαι^{vppnnms} ποῦ^{xo} ἔρχομαι^{vipn3s}. **v.9** πίστις^{ndfs} παροικέω^{viaa3s} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} ὁ^{dgfs} ἐπαγγελία^{ngfs} ὡς^{bo} ἀλλότριος^{aafsn} ἐν^{p} σκηνή^{ndfp} κατοικέω^{vpaanms} μετά^{p} Ἰσαάκ^{tp} καί^{c} Ἰακώβ^{tp} ὁ^{dgmp} συγκληρονόμος^{agmpn} ὁ^{dgfs} ἐπαγγελία^{ngfs} ὁ^{dgfs} αὐτός^{rpgfs}. **v.10** ἐκδέχομαι^{viin3s} γάρ^{c} ὁ^{dafs} ὁ^{damp} θεμέλιος^{namp} ἔχω^{vppaafs} πόλις^{nafs} ὅς^{rrgfs} τεχνίτης^{nnms} καί^{c} δημιουργός^{nnms} ὁ^{dnms} θεός^{nnms}. **v.11** πίστις^{ndfs} καί^{c} αὐτός^{rpnfs} Σάρρα^{nnfs} δύναμις^{nafs} εἰς^{p} καταβολή^{nafs} σπέρμα^{ngns} λαμβάνω^{viaa3s} καί^{c} παρά^{p} καιρός^{nams} ἡλικία^{ngfs} τίκτω^{viaa3s} ἐπεί^{c} πιστός^{aamsn} ἡγέομαι^{viad3s} ὁ^{dams} ἐπαγγέλλομαι^{vpadams}. **v.12** διό^{c} καί^{c} ἀπό^{p} εἷς^{ngms} γεννάω^{viap3p} καί^{c} οὗτος^{rdnnp} νεκρόω^{vpxpgms} καθώς^{bo} ὁ^{dnnp} ἄστρον^{nnnp} ὁ^{dgms} οὐρανός^{ngms} ὁ^{ddns} πλῆθος^{ndns} καί^{c} ὡσεί^{bo} ἄμμος^{nnfs} ὁ^{dnfs} παρά^{p} ὁ^{dans} χεῖλος^{nans} ὁ^{dgfs} θάλασσα^{ngfs} ὁ^{dnfs} ἀναρίθμητος^{anfsn}. **v.13** κατά^{p} πίστις^{nafs} ἀποθνῄσκω^{viaa3p} οὗτος^{rdnmp} πᾶς^{anmpn} μή^{xo} λαμβάνω^{vpaanmp} ὁ^{dafp} ἐπαγγελία^{nafp} ἀλλά^{c} πόρρωθεν^{bo} αὐτός^{rpafp} ὁράω^{vpaanmp} καί^{c} πείθω^{vpapnmp} καί^{c} ἀσπάζομαι^{vpadnmp} καί^{c} ὁμολογέω^{vpaanmp} ὅτι^{c} ξένος^{anmpn} καί^{c} παρεπίδημος^{anmpn} εἰμί^{vipx3p} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.14** ὁ^{dnmp} γάρ^{c} τοιοῦτος^{rdanp} λέγω^{vppanmp} ἐμφανίζω^{vipa3p} ὅτι^{c} πατρίς^{nafs} ἐπιζητέω^{vipa3p}. **v.15** καί^{c} εἰ^{qo} μέν^{xo} ἐκεῖνος^{rdgfs} μνημονεύω^{viia3p} ἀπό^{p} ὅς^{rrgfs} ἐξέρχομαι^{viaa3p} ἔχω^{viia3p} ἄν^{xo} καιρός^{nams} ἀνακάμπτω^{vnaa}. **v.16** νυνί^{bo} δέ^{c} κρείττων^{agfsn} ὀρέγω^{vipm3p} εἰμί^{rdnns} ἐπουράνιος^{agfsn} διό^{c} οὐ^{xo} ἐπαισχύνομαι^{vipn3s} αὐτός^{rpamp} ὁ^{dnms} θεός^{nnms} θεός^{nnms} ἐπικαλέω^{vnpp} αὐτός^{rpgmp} ἑτοιμάζω^{viaa3s} γάρ^{c} αὐτός^{rpdmp} πόλις^{nafs}.

μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. πρὸς 18
ὃν ἐλαλήθη ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. λογισάμε- 19
νος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός ὅθεν αὐτὸν καὶ
ἐν παραβολῇ ἐκομίσατο. Πίστει περὶ μελλόντων εὐλόγησεν 20
Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. Πίστει Ἰακὼβ ἀποθνῄσκων 21
ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν καὶ προσεκύνησεν ἐπὶ τὸ
ἄκρον τῆς ῥάβδου αὐτοῦ. Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς 22
ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσεν καὶ περὶ τῶν ὀστέων
αὐτοῦ ἐνετείλατο. Πίστει Μωσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον 23
ὑπὸ τῶν πατέρων αὐτοῦ διότι εἶδον ἀστεῖον τὸ παιδίον καὶ οὐκ
ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. Πίστει Μωσῆς μέγας 24
γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ. μᾶλλον 25
ἐλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ ἢ πρόσκαιρον ἔ-
χειν ἁμαρτίας ἀπόλαυσιν. μείζονα πλοῦτον ἡγησάμενος τῶν 26
ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἀπέβλεπεν
γὰρ εἰς τὴν μισθαποδοσίαν. Πίστει κατέλιπεν Αἴγυπτον μὴ φο- 27
βηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρ-
τέρησεν. Πίστει πεποίηκεν τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ 28
αἵματος ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. Πί- 29
στει διέβησαν τὴν Ἐρυθρὰν Θάλασσαν ὡς διὰ ξηρᾶς ἧς πεῖραν
λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν. Πίστει τὰ τείχη Ἰεριχὼ ἐ- 30

---

v.17 πίστις^{ndfs} προσφέρω^{vixa3s} Ἀβραάμ^{tp} ὁ^{dams} Ἰσαάκ^{tp} πειράζω^{vpppnms} καί^{c} ὁ^{dams} μονογενής^{aamsn} προσφέρω^{viia3s} ὁ^{dnms} ὁ^{dafp} ἐπαγγελία^{nafp} ἀναδέχομαι^{vpadnms}. **v.18** πρός^{p} ὅς^{rrams} λαλέω^{viap3s} ὅτι^{c} ἐν^{p} Ἰσαάκ^{tp} καλέω^{vifp3s} σύ$^{rpd-s}$ σπέρμα^{nnns}. **v.19** λογίζομαι^{vpadnms} ὅτι^{c} καί^{c} ἐκ^{p} νεκρός^{agmpn} ἐγείρω^{vnpa} δυνατός^{anmsn} ὁ^{dnms} θεός^{nnms} ὅθεν^{bo} αὐτός^{rpams} καί^{c} ἐν^{p} παραβολή^{ndfs} κομίζω^{viam3s}. **v.20** πίστις^{ndfs} περί^{p} μέλλω^{vppagnp} εὐλογέω^{viaa3s} Ἰσαάκ^{tp} ὁ^{dams} Ἰακώβ^{tp} καί^{c} ὁ^{dams} Ἠσαῦ^{tp}. **v.21** πίστις^{ndfs} Ἰακώβ^{tp} ἀποθνῄσκω^{vppanms} ἕκαστος^{aamsn} ὁ^{dgmp} υἱός^{ngmp} Ἰωσήφ^{tp} εὐλογέω^{viaa3s} καί^{c} προσκυνέω^{viaa3s} ἐπί^{p} ὁ^{dans} ἄκρον^{nans} ὁ^{dgfs} ῥάβδος^{ngfs} αὐτός^{rpgms}. **v.22** πίστις^{ndfs} Ἰωσήφ^{tp} τελευτάω^{vppanms} περί^{p} ὁ^{dgfs} ἔξοδος^{ngfs} ὁ^{dgmp} υἱός^{ngmp} Ἰσραήλ^{tp} μνημονεύω^{viaa3s} καί^{c} περί^{p} ὁ^{dgnp} ὀστέον^{ngnp} αὐτός^{rpgms} ἐντέλλομαι^{viad3s}. **v.23** πίστις^{ndfs} Μωϋσῆς^{nnms} γεννάω^{vpapnms} κρύπτω^{viap3s} τρίμηνος^{aansn} ὑπό^{p} ὁ^{dgmp} πατήρ^{ngmp} αὐτός^{rpgms} διότι^{c} ὁράω^{viaa3p} ἀστεῖος^{aansn} ὁ^{dans} παιδίον^{nans} καί^{c} οὐ^{xo} φοβέομαι^{viao3p} ὁ^{dans} διάταγμα^{nans} ὁ^{dgms} βασιλεύς^{ngms}. **v.24** πίστις^{ndfs} Μωϋσῆς^{nnms} μέγας^{anmsn} γίνομαι^{vpadnms} ἀρνέομαι^{viad3s} λέγω^{vnpp} υἱός^{nnms} θυγάτηρ^{ngfs} Φαραώ^{tp}. **v.25** μᾶλλον^{bo} αἱρέω^{vpamnms} συγκακουχέομαι^{vnpn} ὁ^{ddms} λαός^{ndms} ὁ^{dgms} θεός^{ngms} ἤ^{xo} πρόσκαιρος^{aafsn} ἔχω^{vnpa} ἁμαρτία^{ngfs} ἀπόλαυσις^{nafs}. **v.26** μέγας^{aamsc} πλοῦτος^{nams} ἡγέομαι^{vpadnms} ὁ^{dgmp} ἐν^{p} Αἴγυπτος^{ndfs} θησαυρός^{ngmp} ὁ^{dams} ὀνειδισμός^{nams} ὁ^{dgms} Χριστός^{ngms} ἀποβλέπω^{viia3s} γάρ^{c} εἰς^{p} ὁ^{dafs} μισθαποδοσία^{nafs}. **v.27** πίστις^{ndfs} καταλείπω^{viaa3s} Αἴγυπτος^{nafs} μή^{xo} φοβέομαι^{vpaonms} ὁ^{dams} θυμός^{nams} ὁ^{dgms} βασιλεύς^{ngms} ὁ^{dams} γάρ^{c} ἀόρατος^{aamsn} ὡς^{bo} ὁράω^{vppanms} καρτερέω^{viaa3s}. **v.28** πίστις^{ndfs} ποιέω^{vixa3s} ὁ^{dans} πάσχα^{ta} καί^{c} ὁ^{dafs} πρόσχυσις^{nafs} ὁ^{dgns} αἷμα^{ngns} ἵνα^{c} μή^{xo} ὁ^{dnms} ὀλοθρεύω^{vppanms} ὁ^{danp} πρωτότοκος^{aanpn} θιγγάνω^{vsaa3s} αὐτός^{rpgmp}. **v.29** πίστις^{ndfs} διαβαίνω^{viaa3p} ὁ^{dafs} ἐρυθρός^{aafsn} θάλασσα^{nafs} ὡς^{bo} διά^{p} ξηρός^{ngfs} ὅς^{rrgfs} πεῖρα^{nafs} λαμβάνω^{vpaanmp} ὁ^{dnmp} Αἰγύπτιος^{anmpn} καταπίνω^{viap3p}.

31 πεσεν κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει Ῥαὰβ ἡ πόρνη οὐ
συναπώλετο τοῖς ἀπειθήσασιν δεξαμένη τοὺς κατασκόπους μετ
32 εἰρήνης. Καὶ τί ἔτι λέγω ἐπιλείψει γὰρ με διηγούμενον ὁ χρό-
νος περὶ Γεδεών Βαράκ τε καὶ Σαμψών καὶ Ἰεφθάε Δαβίδ τε καὶ
33 Σαμουὴλ καὶ τῶν προφητῶν. οἳ διὰ πίστεως κατηγωνίσαντο
βασιλείας εἰργάσαντο δικαιοσύνην ἐπέτυχον ἐπαγγελιῶν ἔφρα-
34 ξαν στόματα λεόντων. ἔσβεσαν δύναμιν πυρός ἔφυγον στόματα
μαχαίρας ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας ἐγενήθησαν ἰσχυροὶ
35 ἐν πολέμῳ παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. ἔλαβον γυναῖκες
ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν, ἄλλοι δὲ ἐτυμπανίσθησαν
οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν ἵνα κρείττονος ἀναστάσεως
36 τύχωσιν, ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον
37 ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθησαν ἐπρίσθησαν ἐπειρά-
σθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον περιῆλθον ἐν μηλωταῖς
ἐν αἰγείοις δέρμασιν ὑστερούμενοι θλιβόμενοι κακουχούμενοι.
38 ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν
39 καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρ-
τυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν.
40 τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου ἵνα μὴ χωρὶς
ἡμῶν τελειωθῶσιν.

12 Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν
νέφος μαρτύρων ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον

---

v.30 πίστις^{ndfs} ὁ^{dnnp} τεῖχος^{nnnp} Ἰεριχώ^{tp} πίπτω^{viaa3s} κυκλόω^{vpapnnp} ἐπί^{p} ἑπτά^{tn} ἡμέρα^{nafp}. **v.31** πίστις^{ndfs} Ῥαάβ^{tp} ὁ^{dnfs} πόρνη^{nnfs} οὐ^{xo} συναπόλλυμι^{viam3s} ὁ^{ddmp} ἀπειθέω^{vpaadmp} δέχομαι^{vpadnfs} ὁ^{damp} κατάσκοπος^{namp} μετά^{p} εἰρήνη^{ngfs}. **v.32** καί^{c} τίς^{rqans} ἔτι^{bo} λέγω^{vspa1s} ἐπιλείπω^{vifa3s} γάρ^{c} ἐγώ$^{rpa-s}$ διηγέομαι^{vppnams} ὁ^{dnms} χρόνος^{nnms} περί^{p} Γεδεών^{tp} Βαράκ^{tp} τέ^{xo} καί^{c} Σαμψών^{tp} καί^{c} Ἰεφθάε^{tp} Δαυίδ^{tp} τέ^{xo} καί^{c} Σαμουήλ^{tp} καί^{c} ὁ^{dgmp} προφήτης^{ngmp}. **v.33** ὅς^{rrnmp} διά^{p} πίστις^{ngfs} καταγωνίζομαι^{viad3p} βασιλεία^{nafp} ἐργάζομαι^{viad3p} δικαιοσύνη^{nafs} ἐπιτυγχάνω^{viaa2p} ἐπαγγελία^{ngfp} φράσσω^{viaa3p} στόμα^{nanp} λέων^{ngmp}. **v.34** σβέννυμι^{viaa3p} δύναμις^{nafs} πῦρ^{ngns} φεύγω^{viaa3p} στόμα^{nanp} μάχαιρα^{ngfs} ἐνδυναμόω^{viap3p} ἀπό^{p} ἀσθένεια^{ngfs} γίνομαι^{viao3p} ἰσχυρός^{annmpn} ἐν^{p} πόλεμος^{ndms} παρεμβολή^{nafp} κλίνω^{viaa3p} ἀλλότριος^{agmpn}. **v.35** λαμβάνω^{viaa3p} γυνή^{nnfp} ἐκ^{p} ἀνάστασις^{ngfs} ὁ^{damp} νεκρός^{aampn} αὐτός^{rpgfp} ἄλλος^{anmpn} δέ^{c} τυμπανίζω^{viap3p} οὐ^{xo} προσδέχομαι^{vpadnmp} ὁ^{dafs} ἀπολύτρωσις^{nafs} ἵνα^{c} κρείττων^{agfsn} ἀνάστασις^{ngfs} τυγχάνω^{vsaa3p}. **v.36** ἕτερος^{anmpn} δέ^{c} ἐμπαιγμός^{ngmp} καί^{c} μάστιξ^{ngfp} πεῖρα^{nafs} λαμβάνω^{viaa3p} ἔτι^{bo} δέ^{c} δεσμός^{ngmp} καί^{c} φυλακή^{ngfs}. **v.37** λιθάζω^{viap3p} πρίζω^{viap3p} πειράζω^{viap3p} ἐν^{p} φόνος^{ndms} μάχαιρα^{ngfs} ἀποθνῄσκω^{viaa3p} περιέρχομαι^{viaa3p} ἐν^{p} μηλωτή^{ndfp} ἐν^{p} αἴγειος^{adnpn} δέρμα^{ndnp} ὑστερέω^{vpppnmp} θλίβω^{vpppnmp} κακουχέω^{vpppnmp}. **v.38** ὅς^{rrgmp} οὐ^{xo} εἰμί^{viix3s} ἄξιος^{anmsn} ὁ^{dnms} κόσμος^{nnms} ἐν^{p} ἐρημία^{ndfp} πλανάω^{vpppnmp} καί^{c} ὄρος^{ndnp} καί^{c} σπήλαιον^{ndnp} καί^{c} ὁ^{ddfp} ὀπή^{ndfp} ὁ^{dgfs} γῆ^{ngfs}. **v.39** καί^{c} οὗτος^{rdnmp} πᾶς^{anmpn} μαρτυρέω^{vpapnmp} διά^{p} ὁ^{dgfs} πίστις^{ngfs} οὐ^{xo} κομίζω^{viam3p} ὁ^{dafs} ἐπαγγελία^{nafs}. **v.40** ὁ^{dgms} θεός^{ngms} περί^{p} ἐγώ$^{rpg-p}$ κρείττων^{aansn} τι-σριανσ προβλέπω^{vpamgms} ἵνα^{c} μή^{xo} χωρίς^{bo} ἐγώ$^{rpg-p}$ τελειόω^{vsap3p}.

ἁμαρτίαν δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα.
ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν 2
ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινεν σταυρὸν αἰσχύ-
νης καταφρονήσας ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ ἐκάθισεν.
ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρ- 3
τωλῶν εἰς αὐτὸν ἀντιλογίαν ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν
ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν 4
ἁμαρτίαν ἀνταγωνιζόμενοι. καὶ ἐκλέλησθε τῆς παρακλήσεως 5
ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται Υἱέ μου μὴ ὀλιγώρει παιδείας
κυρίου μηδὲ ἐκλύου ὑπ αὐτοῦ ἐλεγχόμενος, ὃν γὰρ ἀγαπᾷ 6
κύριος παιδεύει μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. εἰ᾽ 7
παιδείαν ὑπομένετε ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός τίς γὰρ
ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ. εἰ δὲ χωρίς ἐστε παιδείας ἧς 8
μέτοχοι γεγόνασιν πάντες ἄρα νόθοι ἐστε καὶ οὐχ υἱοί. εἶτα 9
τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐν-
ετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν
πνευμάτων καὶ ζήσομεν. οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κα- 10
τὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ
μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. πᾶσα δὲ παιδεία πρὸς μὲν 11
τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι ἀλλὰ λύπης ὕστερον δὲ καρπὸν
εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύ-

---

12. v.1 τοιγαροῦν^{xo} καί^{c} ἐγώ$^{rpn\text{-}p}$ τοσοῦτος^{rdans} ἔχω^{vppanmp} περίκειμαι^{vppnans} ἐγώ$^{rpd\text{-}p}$ νέφος^{nans} μάρτυς^{ngmp} ὄγκος^{nams} ἀποτίθημι^{vpamnmp} πᾶς^{aamsn} καί^{c} ὁ^{dafs} εὐπερίστατος^{aafsn} ἁμαρτία^{nafs} διά^{p} ὑπομονή^{ngfs} τρέχω^{vspa1p} ὁ^{dams} πρόκειμαι^{vppnams} ἐγώ$^{rpd\text{-}p}$ ἀγών^{nams}. **v.2** ἀφοράω^{vppanmp} εἰς^{p} ὁ^{dams} ὁ^{dgfs} πίστις^{ngfs} ἀρχηγός^{nams} καί^{c} τελειωτής^{nams} Ἰησοῦς^{nams} ὅς^{rrnms} ἀντί^{p} ὁ^{dgfs} πρόκειμαι^{vppngfs} αὐτός^{rpdms} χαρά^{ngfs} ὑπομένω^{viaa3s} σταυρός^{nams} αἰσχύνη^{ngfs} καταφρονέω^{vpaanms} ἐν^{p} δεξιός^{adfsn} τε^{xo} ὁ^{dgms} θρόνος^{ngms} ὁ^{dgms} θεός^{ngms} καθίζω^{viaa3s}. **v.3** ἀναλογίζομαι^{vdad2p} γάρ^{c} ὁ^{dams} τοιοῦτος^{rdafs} ὑπομένω^{vpxaams} ὑπό^{p} ὁ^{dgmp} ἁμαρτωλός^{agmpn} εἰς^{p} αὐτός^{rpams} ἀντιλογία^{nafs} ἵνα^{c} μή^{xo} κάμνω^{vsaa2p} ὁ^{ddfp} ψυχή^{ndfp} σύ$^{rpg\text{-}p}$ ἐκλύω^{vpppnmp}. **v.4** οὔπω^{bo} μέχρι^{bo} αἷμα^{ngns} ἀντικαθίστημι^{viaa2p} πρός^{p} ὁ^{dafs} ἁμαρτία^{nafs} ἀνταγωνίζομαι^{vppnnmp}. **v.5** καί^{c} ἐκλανθάνομαι^{vixp2p} ὁ^{dgfs} παράκλησις^{ngfs} ὅστις^{rrnfs} σύ$^{rpd\text{-}p}$ ὡς^{bo} υἱός^{ndmp} διαλέγομαι^{vipn3s} υἱός^{nvms} ἐγώ$^{rpg\text{-}s}$ μή^{xo} ὀλιγωρέω^{vdpa2s} παιδεία^{ngfs} κύριος^{ngms} μηδέ^{c} ἐκλύω^{vdpp2s} ὑπό^{p} αὐτός^{rpgms} ἐλέγχω^{vpppnms}. **v.6** ὅς^{rrams} γάρ^{c} ἀγαπάω^{vipa3s} κύριος^{nnms} παιδεύω^{vipa3s} μαστιγόω^{vipa3s} δέ^{c} πᾶς^{aamsn} υἱός^{nams} ὅς^{rrams} παραδέχομαι^{vipn3s}. **v.7** εἰ^{qo} παιδεία^{nafs} ὑπομένω^{vipa2p} ὡς^{bo} υἱός^{ndmp} σύ$^{rpd\text{-}p}$ προσφέρω^{vipp3s} ὁ^{dnms} θεός^{nnms} τίς^{rqnms} γάρ^{c} εἰμί^{vipx3s} υἱός^{nnms} ὅς^{rrams} οὐ^{xo} παιδεύω^{vipa3s} πατήρ^{nnms}. **v.8** εἰ^{qo} δέ^{c} χωρίς^{bo} εἰμί^{vipx2p} παιδεία^{ngfs} ὅς^{rrgfs} μέτοχος^{anmpn} γίνομαι^{vixa3p} πᾶς^{anmpn} ἄρα^{xo} νόθος^{anmpn} εἰμί^{vipx2p} καί^{c} οὐ^{xo} υἱός^{nnmp}. **v.9** εἶτα^{bo} ὁ^{damp} μέν^{xo} ὁ^{dgfs} σάρξ^{ngfs} ἐγώ$^{rpg\text{-}p}$ πατήρ^{namp} ἔχω^{viia1p} παιδευτής^{namp} καί^{c} ἐντρέπω^{viim1p} οὐ^{xo} πολύς^{adnsn} μᾶλλον^{bo} ὑποτάσσω^{vifp1p} ὁ^{ddms} πατήρ^{ndms} ὁ^{dgnp} πνεῦμα^{ngnp} καί^{c} ζάω^{vifa1p}. **v.10** ὁ^{dmnp} μέν^{xo} γάρ^{c} πρός^{p} ὀλίγος^{aafpn} ἡμέρα^{nafp} κατά^{p} ὁ^{dans} δοκέω^{vppaans} αὐτός^{rpdmp} παιδεύω^{viia3p} ὁ^{dnms} δέ^{c} ἐπί^{p} ὁ^{dans} συμφέρω^{vppaans} εἰς^{p} ὁ^{dans} μεταλαμβάνω^{vnaa} ὁ^{dgfs} ἁγιότης^{ngfs} αὐτός^{rpgms}.

νης. Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα
ἀνορθώσατε. καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν ἵνα
μὴ τὸ χωλὸν ἐκτραπῇ ἰαθῇ δὲ μᾶλλον. Εἰρήνην διώκετε μετὰ
πάντων καὶ τὸν ἁγιασμόν οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον.
ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ μή
τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ διὰ ταύτῆς μιανθῶσιν
πολλοί. μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ ὃς ἀντὶ βρώσεως μι-
ᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. ἴστε γὰρ ὅτι καὶ μετέπειτα
θέλων κληρονομῆσαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη μετανοίας
γὰρ τόπον οὐχ εὗρεν καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.
Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυ-
ρὶ καὶ γνόφῳ καὶ σκότῳ, καὶ θυέλλῃ. καὶ σάλπιγγος ἤχῳ καὶ
φωνῇ ῥημάτων ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι
αὐτοῖς λόγον. οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον Κἂν θηρίον
θίγῃ τοῦ ὄρους λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται,
καί οὕτως φοβερὸν ἦν τὸ φανταζόμενον Μωσῆς εἶπεν Ἔκφο-
βός εἰμι καὶ ἔντρομος. ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ
πόλει θεοῦ ζῶντος Ἰερουσαλὴμ ἐπουρανίῳ καὶ μυριάσιν ἀγ-
γέλων. πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀ-
πογεγραμμένων καὶ κριτῇ θεῷ πάντων καὶ πνεύμασιν δικαίων

---

v.11 πᾶς^{anfsn} δέ^{c} παιδεία^{nnfs} πρός^{p} μέν^{xo} ὁ^{dans} πάρειμι^{vppxans} οὐ^{xo} δοκέω^{vipa3s} χαρά^{ngfs} εἰμί^{vnpx} ἀλλά^{c} λύπη^{ngfs} ὕστερος^{bo} δέ^{c} καρπός^{nams} εἰρηνικός^{aafsn} ὁ^{ddmp} διά^{p} αὐτός^{rpgfs} γυμνάζω^{vpxpdmp} ἀποδίδωμι^{vipa3s} δικαιοσύνη^{ngfs}. **v.12** διό^{c} ὁ^{dafp} παρίημι^{vpxpafp} χείρ^{nafp} καί^{c} ὁ^{danp} παραλύω^{vpxpanp} γόνυ^{nanp} ἀνορθόω^{vdaa2p}. **v.13** καί^{c} τροχιά^{nafp} ὀρθός^{aafpn} ποιέω^{vdaa2p} ὁ^{ddmp} πούς^{ndmp} σύ$^{rpg-p}$ ἵνα^{c} μή^{xo} ὁ^{dnns} χωλός^{annsn} ἐκτρέπω^{vsap3s} ἰάομαι^{vsap3s} δέ^{c} μᾶλλον^{bo}. **v.14** εἰρήνη^{nafs} διώκω^{vdpa2p} μετά^{p} πᾶς^{agmpn} καί^{c} ὁ^{dams} ἁγιασμός^{nams} ὅς^{rrgms} χωρίς^{bo} οὐδείς^{anfsn} ὁράω^{vifd3s} ὁ^{dams} κύριος^{nams}. **v.15** ἐπισκοπέω^{vppanmp} μή^{xo} τι-σρινμσ ὑστερέω^{vppanms} ἀπό^{p} ὁ^{dgfs} χάρις^{ngfs} ὁ^{dgms} θεός^{ngms} μή^{xo} τι-σρινφσ ῥίζα^{nnfs} πικρία^{ngfs} ἄνω^{bo} φύω^{vppanfs} ἐνοχλέω^{vspa3s} καί^{c} διά^{p} οὗτος^{rdgfs} μιαίνω^{vsap3p} πολύς^{anmpn}. **v.16** μή^{xo} τι-σρινμσ πόρνος^{nnms} ἤ^{xo} βέβηλος^{anmsn} ὡς^{bo} Ἠσαῦ^{tp} ὅς^{rrnms} ἀντί^{p} βρῶσις^{ngfs} εἷς^{ngfs} ἀποδίδωμι^{viam3s} ὁ^{danp} πρωτοτόκια^{nanp} αὐτός^{rpgms}. **v.17** οἶδα^{vdxa2p} γάρ^{c} ὅτι^{c} καί^{c} μετέπειτα^{bo} θέλω^{vppanms} κληρονομέω^{vnaa} ὁ^{dafs} εὐλογία^{nafs} ἀποδοκιμάζω^{viap3s} μετάνοια^{ngfs} γάρ^{c} τόπος^{nams} οὐ^{xo} εὑρίσκω^{viaa3s} καίπερ^{c} μετά^{p} δάκρυον^{ngnp} ἐκζητέω^{vpaanms} αὐτός^{rpafs}. **v.18** οὐ^{xo} γάρ^{c} προσέρχομαι^{vixa2p} ψηλαφάω^{vpppdns} ὄρος^{ndns} καί^{c} καίω^{vpxpdns} πῦρ^{ndns} καί^{c} γνόφος^{ndms} καί^{c} σκότος^{ndms} καί^{c} θύελλα^{ndfs}. **v.19** καί^{c} σάλπιγξ^{ngfs} ἦχος^{ndms} καί^{c} φωνή^{ndfs} ῥῆμα^{ngnp} ὅς^{rrgfs} ὁ^{dnmp} ἀκούω^{vpaanmp} παραιτέομαι^{viad3p} μή^{xo} προστίθημι^{vnap} αὐτός^{rpdmp} λόγος^{nams}. **v.20** οὐ^{xo} φέρω^{viia3p} γάρ^{c} ὁ^{dans} διαστέλλω^{vpppans} κἄν^{qo} θηρίον^{nnns} θιγγάνω^{vsaa3s} ὁ^{dgns} ὄρος^{ngns} λιθοβολέω^{vifp3s} ἤ^{xo} βολίς^{ndfs} κατατοξεύω^{vifp3s}. **v.21** καί^{c} οὕτω^{bo} φοβερός^{annsn} εἰμί^{viix3s} ὁ^{dnns} φαντάζω^{vpppnns} Μωϋσῆς^{nnms} λέγω^{viaa3s} ἔκφοβος^{anmsn} εἰμί^{vipx1s} καί^{c} ἔντρομος^{anmsn}. **v.22** ἀλλά^{c} προσέρχομαι^{vixa2p} Σιών^{tp} ὄρος^{ndns} καί^{c} πόλις^{ndfs} θεός^{ngms} ζάω^{vppagms} Ἰερουσαλήμ^{tp} ἐπουράνιος^{adfsn} καί^{c} μυριάς^{ndmp} ἄγγελος^{ngmp}.

τετελειωμένων. καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ καὶ αἵματι 24
ῥαντισμοῦ κρείττονα λαλοῦντι παρὰ τὸν Ἄβελ. Βλέπετε μὴ 25
παραιτήσησθε τὸν λαλοῦντα, εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐ-
πὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα πολλῷ μᾶλλον ἡμεῖς
οἱ τὸν ἀπ οὐρανῶν ἀποστρεφόμενοι. οὗ ἡ φωνὴ τὴν γῆν ἐσ- 26
άλευσεν τότε νῦν δὲ ἐπήγγελται λέγων Ἔτι ἅπαξ ἐγὼ σείω οὐ
μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δέ Ἔτι ἅπαξ δηλοῖ 27
τῶν σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων ἵνα μείνῃ τὰ
μὴ σαλευόμενα. Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες 28
ἔχωμεν χάριν δι᾽ ἧς λατρεύωμεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς
καὶ εὐλαβείας. καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον. 29

Ἡ φιλαδελφία μενέτω. τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε **13**, 2
διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. μιμνῄσκε- 3
σθε τῶν δεσμίων ὡς συνδεδεμένοι τῶν κακουχουμένων ὡς καὶ
αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν πᾶσιν καὶ ἡ κοίτη 4
ἀμίαντος πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. Ἀφιλάργυ- 5
ρος ὁ τρόπος ἀρκούμενοι τοῖς παροῦσιν αὐτὸς γὰρ εἴρηκεν Οὐ
μή σε ἀνῶ οὐδ οὐ μή σε ἐγκαταλίπω. ὥστε θαρροῦντας ἡμᾶς 6
λέγειν Κύριος ἐμοὶ βοηθός καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι
ἄνθρωπος. Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν οἵτινες ἐλάλη- 7
σαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν

---

v.23 πανήγυρις^{ndfs} καί^{c} ἐκκλησία^{ndfs} πρωτότοκος^{agmpn} ἐν^{p} οὐρανός^{ndmp} ἀπογράφω^{vpxpgmp} καί^{c} κριτής^{ndms} θεός^{ndms} πᾶς^{agmpn} καί^{c} πνεῦμα^{ndnp} δίκαιος^{agmpn} τελειόω^{vpxpgmp}. **v.24** καί^{c} διαθήκη^{ngfs} νέος^{agfsn} μεσίτης^{ndms} Ἰησοῦς^{ndms} καί^{c} αἷμα^{ndns} ῥαντισμός^{ngms} κρείττων^{aanpn} λαλέω^{vppadms} παρά^{p} ὁ^{dams} Ἄβελ^{tp}. **v.25** βλέπω^{vdpa2p} μή^{xo} παραιτέομαι^{vsad2p} ὁ^{dams} λαλέω^{vppaams} εἰ^{qo} γάρ^{c} ἐκεῖνος^{rdnmp} οὐ^{xo} φεύγω^{viaa3p} ὁ^{dams} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} παραιτέομαι^{vpadnmp} χρηματίζω^{vppaams} πολύς^{adnsn} μᾶλλον^{bo} ἐγώ$^{rpn-p}$ ὁ^{dnmp} ὁ^{dams} ἀπό^{p} οὐρανός^{ngmp} ἀποστρέφω^{vppmnmp}. **v.26** ὅς^{rrgms} ὁ^{dnfs} φωνή^{nnfs} ὁ^{dafs} γῆ^{nafs} σαλεύω^{viaa3s} τότε^{bo} νῦν^{bo} δέ^{c} ἐπαγγέλλομαι^{vixn3s} λέγω^{vppanms} ἔτι^{bo} ἅπαξ^{bo} ἐγώ$^{rpn-s}$ σείω^{vipa1s} οὐ^{xo} μόνος^{bo} ὁ^{dafs} γῆ^{nafs} ἀλλά^{c} καί^{c} ὁ^{dams} οὐρανός^{nams}. **v.27** ὁ^{dnns} δέ^{c} ἔτι^{bo} ἅπαξ^{bo} δηλόω^{vipa3s} ὁ^{dgnp} σαλεύω^{vpppgnp} ὁ^{dafs} μετάθεσις^{nafs} ὡς^{bo} ποιέω^{vpxpgmp} ἵνα^{c} μένω^{vsaa3s} ὁ^{dnnp} μή^{xo} σαλεύω^{vpppnnp}. **v.28** διό^{c} βασιλεία^{nafs} ἀσάλευτος^{aafsn} παραλαμβάνω^{vppanmp} ἔχω^{vspa1p} χάρις^{nafs} διά^{p} ὅς^{rrgfs} λατρεύω^{vspa1p} εὐάρεστος^{bo} ὁ^{ddms} θεός^{ndms} μετά^{p} αἰδώς^{ngfs} καί^{c} εὐλάβεια^{ngfs}. **v.29** καί^{c} γάρ^{c} ὁ^{dnms} θεός^{nnms} ἐγώ$^{rpg-p}$ πῦρ^{nnns} καταναλίσκω^{vppanns}. **13. v.1** ὁ^{dnfs} φιλαδελφία^{nnfs} μένω^{vdpa3s}. **v.2** ὁ^{dgfs} φιλοξενία^{ngfs} μή^{xo} ἐπιλανθάνομαι^{vdpn2p} διά^{p} οὗτος^{rdgfs} γάρ^{c} λανθάνω^{viaa3p} τι-σρινμπ ξενίζω^{vpaanmp} ἄγγελος^{namp}. **v.3** μιμνῄσκομαι^{vdpn2p} ὁ^{dgmp} δέσμιος^{ngmp} ὡς^{bo} συνδέω^{vpxpnmp} ὁ^{dgmp} κακουχέω^{vpppgmp} ὡς^{bo} καί^{c} αὐτός^{rpnmp} εἰμί^{vppxnmp} ἐν^{p} σῶμα^{ndns}. **v.4** τίμιος^{anmsn} ὁ^{dnms} γάμος^{nnms} ἐν^{p} πᾶς^{adnpn} καί^{c} ὁ^{dnfs} κοίτη^{nnfs} ἀμίαντος^{anfsn} πόρνος^{namp} δέ^{c} καί^{c} μοιχός^{namp} κρίνω^{vifa3s} ὁ^{dnms} θεός^{nnms}. **v.5** ἀφιλάργυρος^{anmsn} ὁ^{dnms} τρόπος^{nnms} ἀρκέω^{vpppnmp} ὁ^{ddnp} πάρειμι^{vppxdnp} αὐτός^{rpnms} γάρ^{c} λέγω^{vixa3s} οὐ^{xo} μή^{xo} σύ$^{rpa-s}$ ἀνίημι^{vsaa1s} οὐδέ^{bo} οὐ^{xo} μή^{xo} σύ$^{rpa-s}$ ἐγκαταλείπω^{vsaa1s}. **v.6** ὥστε^{c} θαρρέω^{vppaamp} ἐγώ$^{rpa-p}$ λέγω^{vnpa} κύριος^{nnms} ἐγώ$^{rpd-s}$ βοηθός^{nnms} καί^{c} οὐ^{xo} φοβέομαι^{vifo1s} τίς^{rqans} ποιέω^{vifa3s} ἐγώ$^{rpd-s}$ ἄνθρωπος^{nnms}.

8 τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς
9 καὶ σήμερον ὁ αὐτός καὶ εἰς τοὺς αἰῶνας. διδαχαῖς ποικίλαις
καὶ ξέναις μὴ περιφέρεσθε, καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν
καρδίαν οὐ βρώμασιν ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαν-
10 τες. ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν
11 οἱ τῇ σκηνῇ λατρεύοντες. ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα
περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως τούτων τὰ σώματα
12 κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ Ἰησοῦς ἵνα ἁγιάσῃ
13 διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν ἔξω τῆς πύλης ἔπαθεν. τοίνυν
ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν
14 αὐτοῦ φέροντες, οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν ἀλλὰ τὴν
15 μέλλουσαν ἐπιζητοῦμεν. δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν
αἰνέσεως διαπαντός τῷ θεῷ τοῦτ᾽ἔστιν καρπὸν χειλέων ὁμολο-
16 γούντων τῷ ὀνόματι αὐτοῦ. τῆς δὲ εὐποιΐας καὶ κοινωνίας
μὴ ἐπιλανθάνεσθε, τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός.
17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε αὐτοὶ γὰρ ἀγρυ-
πνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες ἵνα μετὰ
χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στενάζοντες, ἀλυσιτελὲς γὰρ ὑμῖν
18 τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν, πεποίθαμεν γὰρ ὅτι καλὴν
συνείδησιν ἔχομεν ἐν πᾶσιν καλῶς θέλοντες ἀναστρέφεσθαι.
19 περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι ἵνα τάχιον ἀποκα-

---

v.7 μνημονεύω^{vdpa2p} ὁ^{dgmp} ἡγέομαι^{vppngmp} σύ$^{rpg\text{-}p}$ ὅστις^{rrnmp} λαλέω^{viaa3p} σύ$^{rpd\text{-}p}$ ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} ὅς^{rrgmp} ἀναθεωρέω^{vppanmp} ὁ^{dafs} ἔκβασις^{nafs} ὁ^{dgfs} ἀναστροφή^{ngfs} μιμέομαι^{vdpn2p} ὁ^{dafs} πίστις^{nafs}. **v.8** Ἰησοῦς^{nnms} Χριστός^{nnms} ἐχθές^{bo} καί^{c} σήμερον^{bo} ὁ^{dnms} αὐτός^{rpnms} καί^{c} εἰς^{p} ὁ^{damp} αἰών^{namp}. **v.9** διδαχή^{ndfp} ποικίλος^{adfpn} καί^{c} ξένος^{adfpn} μή^{xo} περιφέρω^{vdpp2p} καλός^{annsn} γάρ^{c} χάρις^{ndfs} βεβαιόω^{vnpp} ὁ^{dafs} καρδία^{nafs} οὐ^{xo} βρῶμα^{ndnp} ἐν^{p} ὅς^{rrdnp} οὐ^{xo} ὠφελέω^{viap3p} ὁ^{dnmp} περιπατέω^{vpaanmp}. **v.10** ἔχω^{vipa1p} θυσιαστήριον^{nans} ἐκ^{p} ὅς^{rrgns} ἐσθίω^{vnaa} οὐ^{xo} ἔχω^{vipa3p} ἐξουσία^{nafs} ὁ^{dnmp} ὁ^{ddfs} σκηνή^{ndfs} λατρεύω^{vppanmp}. **v.11** ὅς^{rrgnp} γάρ^{c} εἰσφέρω^{vipp3s} ζῷον^{ngnp} ὁ^{dnns} αἷμα^{nnns} περί^{p} ἁμαρτία^{ngfs} εἰς^{p} ὁ^{danp} ἅγιος^{aanpn} διά^{p} ὁ^{dgms} ἀρχιερεύς^{ngms} οὗτος^{rdgnp} ὁ^{dnnp} σῶμα^{nnnp} κατακαίω^{vipp3s} ἔξω^{bo} ὁ^{dgfs} παρεμβολή^{ngfs}. **v.12** διό^{c} καί^{c} Ἰησοῦς^{nnms} ἵνα^{c} ἁγιάζω^{vsaa3s} διά^{p} ὁ^{dgns} ἴδιος^{agmsn} αἷμα^{ngns} ὁ^{dams} λαός^{nams} ἔξω^{bo} ὁ^{dgfs} πύλη^{ngfs} πάσχω^{viaa3s}. **v.13** τοίνυν^{xo} ἐξέρχομαι^{vspn1p} πρός^{p} αὐτός^{rpams} ἔξω^{bo} ὁ^{dgfs} παρεμβολή^{ngfs} ὁ^{dams} ὀνειδισμός^{nams} αὐτός^{rpgms} φέρω^{vppanmp}. **v.14** οὐ^{xo} γάρ^{c} ἔχω^{vipa1p} ὧδε^{bo} μένω^{vppaafs} πόλις^{nafs} ἀλλά^{c} ὁ^{dafs} μέλλω^{vppaafs} ἐπιζητέω^{vipa1p}. **v.15** διά^{p} αὐτός^{rpgms} οὖν^{c} ἀναφέρω^{vspa1p} θυσία^{nafs} αἴνεσις^{ngfs} διά&πᾶς^{bo} ὁ^{ddms} θεός^{ndms} εἰμί^{rdnns} καρπός^{nams} χεῖλος^{ngnp} ὁμολογέω^{vppagmp} ὁ^{ddns} ὄνομα^{ndns} αὐτός^{rpgms}. **v.16** ὁ^{dgfs} δέ^{c} εὐποιΐα^{ngfs} καί^{c} κοινωνία^{ngfs} μή^{xo} ἐπιλανθάνομαι^{vdpn2p} τοιοῦτος^{rddfp} γάρ^{c} θυσία^{ndfp} εὐαρεστέω^{vipp3s} ὁ^{dnms} θεός^{nnms}. **v.17** πείθω^{vdpm2p} ὁ^{ddmp} ἡγέομαι^{vppndmp} σύ$^{rpg\text{-}p}$ καί^{c} ὑπείκω^{vdpa2p} αὐτός^{rpnmp} γάρ^{c} ἀγρυπνέω^{vipa3p} ὑπέρ^{p} ὁ^{dgfp} ψυχή^{ngfp} σύ$^{rpg\text{-}p}$ ὡς^{bo} λόγος^{nams} ἀποδίδωμι^{vpfanmp} ἵνα^{c} μετά^{p} χαρά^{ngfs} οὗτος^{rdans} ποιέω^{vspa3p} καί^{c} μή^{xo} στενάζω^{vppanmp} ἀλυσιτελής^{annsn} γάρ^{c} σύ$^{rpd\text{-}p}$ οὗτος^{rdnns}. **v.18** προσεύχομαι^{vdpn2p} περί^{p} ἐγώ$^{rpg\text{-}p}$ πείθω^{vixa1p} γάρ^{c} ὅτι^{c} καλός^{aafsn} συνείδησις^{nafs} ἔχω^{vipa1p} ἐν^{p} πᾶς^{adnpn} καλῶς^{bo} θέλω^{vppanmp} ἀναστρέφω^{vnpp}.

τασταθῶ ὑμῖν. 20 Ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ ἀναγαγὼν ἐκ νεκρῶν
τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰ-
ωνίου τὸν κύριον ἡμῶν Ἰησοῦν. 21 καταρτίσαι ὑμᾶς ἐν παντὶ
ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ ποιῶν ἐν ὑμῖν
τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα εἰς
τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. 22 Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί
ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως καὶ γὰρ διὰ βραχέων
ἐπέστειλα ὑμῖν. 23 Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυ-
μένον μεθ οὗ ἐὰν τάχιον ἔρχηται ὄψομαι ὑμᾶς. 24 Ἀσπάσασθε
πάντας τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους ἀσπά-
ζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. 25 ἡ χάρις μετὰ πάντων ὑμῶν
ἀμήν. [πρὸς Ἑβραίους ἐγράφη ἀπὸ τῆς Ἰταλίας διά Τιμοθέου]

---

v.19 περισσοτέρως^{bo} δέ^{c} παρακαλέω^{vipa1s} οὗτος^{rdans} ποιέω^{vnaa} ἵνα^{c} ταχύς^{bo} ἀποκαθιστάνω^{vsap2s} σύ$^{rpd-p}$. **v.20** ὁ^{dnms} δέ^{c} θεός^{nnms} ὁ^{dgfs} εἰρήνη^{ngfs} ὁ^{dnms} ἀνάγω^{vpaanms} ἐκ^{p} νεκρός^{agmpn} ὁ^{dams} ποιμήν^{nams} ὁ^{dgnp} πρόβατον^{ngnp} ὁ^{dams} μέγας^{aamsn} ἐν^{p} αἷμα^{ndns} διαθήκη^{ngfs} αἰώνιος^{agfsn} ὁ^{dams} κύριος^{nams} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{nams}. **v.21** καταρτίζω^{voaa3s} σύ$^{rpa-p}$ ἐν^{p} πᾶς^{adnsn} ἔργον^{ndns} ἀγαθός^{adnsn} εἰς^{p} ὁ^{dans} ποιέω^{vnaa} ὁ^{dans} θέλημα^{nans} αὐτός^{rpgms} ποιέω^{vppanms} ἐν^{p} σύ$^{rpd-p}$ ὁ^{dans} εὐάρεστος^{aansn} ἐνώπιον^{bo} αὐτός^{rpgms} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὅς^{rrdms} ὁ^{dnfs} δόξα^{nnfs} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ἀμήνth. **v.22** παρακαλέω^{vipa1s} δέ^{c} σύ$^{rpa-p}$ ἀδελφός^{nvmp} ἀνέχω^{vdpn2p} ὁ^{dgms} λόγος^{ngms} ὁ^{dgfs} παράκλησις^{ngfs} καί^{c} γάρ^{c} διά^{p} βραχύς^{agnpn} ἐπιστέλλω^{viaa1s} σύ$^{rpd-p}$. **v.23** γινώσκω^{vipa2p} ὁ^{dams} ἀδελφός^{nams} Τιμόθεος^{nams} ἀπολύω^{vpxpams} μετά^{p} ὅς^{rrgms} ἐάν^{qo} ταχύς^{bo} ἔρχομαι^{vspn3s} ὁράω^{vifd1s} σύ$^{rpa-p}$. **v.24** ἀσπάζομαι^{vdad2p} πᾶς^{aampn} ὁ^{damp} ἡγέομαι^{vppnamp} σύ$^{rpg-p}$ καί^{c} πᾶς^{aampn} ὁ^{damp} ἅγιος^{aampn} ἀσπάζομαι^{vipn3p} σύ$^{rpa-p}$ ὁ^{dnmp} ἀπό^{p} ὁ^{dgfs} Ἰταλία^{ngfs}. **v.25** ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ ἀμήνth πρός^{p} Ἑβραῖος^{aampn} γράφω^{viap3s} ἀπό^{p} ὁ^{dgfs} Ἰταλία^{ngfs} διά^{p} Τιμόθεος^{ngms}.

ΙΑΚΩΒΟΥ
ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ

1 Ἰάκωβος θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος ταῖς δώ-
2 δεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν. Πᾶσαν χαρὰν ἡ-
γήσασθε ἀδελφοί μου ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις.
3 γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑ-
4 πομονήν. ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω ἵνα ἦτε τέλειοι
5 καὶ ὁλόκληροι ἐν μηδενὶ λειπόμενοι. Εἰ δέ τις ὑμῶν λείπεται
σοφίας αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ
6 ὀνειδίζοντος καὶ δοθήσεται αὐτῷ. αἰτείτω δὲ ἐν πίστει μηδὲν
διακρινόμενος ὁ γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης
7 ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐ-
8 κεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ κυρίου. ἀνὴρ δίψυχος ἀκατά-
9 στατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Καυχάσθω δὲ ὁ ἀδελφὸς
10 ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ. ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώ-
11 σει αὐτοῦ ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. ἀνέτειλεν γὰρ ὁ
ἥλιος σὺν τῷ καύσωνι καὶ ἐξήρανεν τὸν χόρτον καὶ τὸ ἄνθος αὐ-
τοῦ ἐξέπεσεν καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο,
οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.
12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν ὅτι δόκιμος γενόμενος
λήψεται τὸν στέφανον τῆς ζωῆς ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς

---

1. v.1 Ἰάκωβος^{nnms} θεός^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} δοῦλος^{nnms} ὁ^{ddfp} δώδεκα^{tn} φυλή^{ndfp} ὁ^{ddfp} ἐν^{p} ὁ^{ddfs} διασπορά^{ndfs} χαίρω^{vnpa}. **v.2** πᾶς^{aafsn} χαρά^{nafs} ἡγέομαι^{viad2p} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ ὅταν^{c} πειρασμός^{ndmp} περιπίπτω^{vsaa2p} ποικίλος^{admpn}. **v.3** γινώσκω^{vppanmp} ὅτι^{c} ὁ^{dnns} δοκίμιον^{nnns} σύ$^{rpg-p}$ ὁ^{dgfs} πίστις^{ngfs} κατεργάζομαι^{vipn3s} ὑπομονή^{nafs}. **v.4** ὁ^{dnfs} δέ^{c} ὑπομονή^{nnfs} ἔργον^{nans} τέλειος^{aansn} ἔχω^{vdpa3s} ἵνα^{c} εἰμί^{vspx2p} τέλειος^{anmpn} καί^{c} ὁλόκληρος^{anmpn} ἐν^{p} μηδείς^{adnsn} λείπω^{vpppnmp}. **v.5** εἰ^{qo} δέ^{c} τι-
-σριναμσ σύ$^{rpg-p}$ λείπω^{vipp3s} σοφία^{ngfs} αἰτέω^{vdpa3s} παρά^{p} ὁ^{dgms} δίδωμι^{vppagms} θεός^{ngms} πᾶς^{admpn} ἁπλῶς^{bo} καί^{c} μή^{xo} ὀνειδίζω^{vppagms} καί^{c} δίδωμι^{vifp3s} αὐτός^{rpdms}. **v.6** αἰτέω^{vdpa3s} δέ^{c} ἐν^{p} πίστις^{ndfs} μηδείς^{aansn} διακρίνω^{vppmnms} ὁ^{dnms} γάρ^{c} διακρίνω^{vppmnms} ἔοικα^{vixa3s} κλύδων^{ndms} θάλασσα^{ngfs} ἀνεμίζω^{vpppdms} καί^{c} ῥιπίζω^{vpppdms}. **v.7** μή^{xo} γάρ^{c} οἴομαι^{vdpn3s} ὁ^{dnms} ἄνθρωπος^{nnms} ἐκεῖνος^{rdnms} ὅτι^{c} λαμβάνω^{vifd3s} τι-σριανσ παρά^{p} ὁ^{dgms} κύριος^{ngms}. **v.8** ἀνήρ^{nnms} δίψυχος^{anmsn} ἀκατάστατος^{anmsn} ἐν^{p} πᾶς^{adfpn} ὁ^{ddfp} ὁδός^{ndfp} αὐτός^{rpgms}. **v.9** καυχάομαι^{vdpn3s} δέ^{c} ὁ^{dnms} ἀδελφός^{nnms} ὁ^{dnms} ταπεινός^{anmsn} ἐν^{p} ὁ^{ddns} ὕψος^{ndns} αὐτός^{rpgms}. **v.10** ὁ^{dnms} δέ^{c} πλούσιος^{anmsn} ἐν^{p} ὁ^{ddfs} ταπείνωσις^{ndfs} αὐτός^{rpgms} ὅτι^{c} ὡς^{bo} ἄνθος^{nnns} χόρτος^{ngms} παρέρχομαι^{vifd3s}. **v.11** ἀνατέλλω^{viaa3s} γάρ^{c} ὁ^{dnms} ἥλιος^{nnms} σύν^{p} ὁ^{ddms} καύσων^{ndms} καί^{c} ξηραίνω^{viaa3s} ὁ^{dams} χόρτος^{nams} καί^{c} ὁ^{dnns} ἄνθος^{nnns} αὐτός^{rpgms} ἐκπίπτω^{viaa3s} καί^{c} ὁ^{dnfs} εὐπρέπεια^{nnfs} ὁ^{dgns} πρόσωπον^{ngns} αὐτός^{rpgms} ἀπόλλυμι^{viam3s} οὕτω^{bo} καί^{c} ὁ^{dnms} πλούσιος^{anmsn} ἐν^{p} ὁ^{ddfp} πορεία^{ndfp} αὐτός^{rpgms} μαραίνω^{vifp3s}.

ἀγαπῶσιν αὐτόν. μηδεὶς πειραζόμενος λεγέτω ὅτι Ἀπὸ τοῦ θε- 13
οῦ πειράζομαι, ὁ γὰρ θεὸς ἀπείραστός ἐστιν κακῶν πειράζει δὲ
αὐτὸς οὐδένα. ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας 14
ἐξελκόμενος καὶ δελεαζόμενος, εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα 15
τίκτει ἁμαρτίαν ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.
Μὴ πλανᾶσθε ἀδελφοί μου ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ καὶ 16, 17
πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν καταβαῖνον ἀπὸ τοῦ πατρὸς
τῶν φώτων παρ ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα.
βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας εἰς τὸ εἶναι ἡμᾶς 18
ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων. Ὥστε, ἀδελφοί μου ἀ- 19
γαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι βραδὺς εἰς
τὸ λαλῆσαι βραδὺς εἰς ὀργήν, ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην 20
θεοῦ οὐ κατεργάζεται. διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ 21
περισσείαν κακίας ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον τὸν
δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. Γίνεσθε δὲ ποιηταὶ λόγου 22
καὶ μὴ μόνον ἀκροαταὶ παραλογιζόμενοι ἑαυτούς. ὅτι εἴ τις 23
ἀκροατὴς λόγου ἐστὶν καὶ οὐ ποιητής οὗτος ἔοικεν ἀνδρὶ κατα-
νοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ, κατενό- 24
ησεν γὰρ ἑαυτὸν καὶ ἀπελήλυθεν καὶ εὐθέως ἐπελάθετο ὁποῖος
ἦν. ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ 25
παραμείνας οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλ-

---

v.12 μακάριος^{anmsn} ἀνήρ^{nnms} ὅς^{rrnms} ὑπομένω^{vipa3s} πειρασμός^{nams} ὅτι^{c} δόκιμος^{anmsn} γίνομαι^{vpadnms} λαμβάνω^{vifd3s} ὁ^{dams} στέφανος^{nams} ὁ^{dgfs} ζωή^{ngfs} ὅς^{rrams} ἐπαγγέλλομαι^{viad3s} ὁ^{dnms} κύριος^{nnms} ὁ^{ddmp} ἀγαπάω^{vppadmp} αὐτός^{rpams}. **v.13** μηδείς^{anmsn} πειράζω^{vpppnms} λέγω^{vdpa3s} ὅτι^{c} ἀπό^{p} ὁ^{dgms} θεός^{ngms} πειράζω^{vipp1s} ὁ^{dnms} γάρ^{c} θεός^{nnms} ἀπείραστος^{anmsn} εἰμί^{vipx3s} κακός^{agnpn} πειράζω^{vipa3s} δέ^{c} αὐτός^{rpnms} οὐδείς^{aamsn}. **v.14** ἕκαστος^{anmsn} δέ^{c} πειράζω^{vipp3s} ὑπό^{p} ὁ^{dgfs} ἴδιος^{agfsn} ἐπιθυμία^{ngfs} ἐξέλκω^{vpppnms} καί^{c} δελεάζω^{vpppnms}. **v.15** εἶτα^{bo} ὁ^{dnfs} ἐπιθυμία^{nnfs} συλλαμβάνω^{vpaanfs} τίκτω^{vipa3s} ἁμαρτία^{nafs} ὁ^{dnfs} δέ^{c} ἁμαρτία^{nnfs} ἀποτελέω^{vpapnfs} ἀποκυέω^{vipa3s} θάνατος^{nams}. **v.16** μή^{xo} πλανάω^{vdpp2p} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ ἀγαπητός^{avmpn}. **v.17** πᾶς^{anfsn} δόσις^{nnfs} ἀγαθός^{anfsn} καί^{c} πᾶς^{annsn} δώρημα^{nnns} τέλειος^{annsn} ἄνωθεν^{bo} εἰμί^{vipx3s} καταβαίνω^{vppanns} ἀπό^{p} ὁ^{dgms} πατήρ^{ngms} ὁ^{dgnp} φῶς^{ngnp} παρά^{p} ὅς^{rrdms} οὐ^{xo} ἔνι^{vipx3s} παραλλαγή^{nnfs} ἤ^{xo} τροπή^{ngfs} ἀποσκίασμα^{nnns}. **v.18** βούλομαι^{vpaonms} ἀποκυέω^{viaa3s} ἐγώ$^{rpa-p}$ λόγος^{ndms} ἀλήθεια^{ngfs} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} ἐγώ$^{rpa-p}$ ἀπαρχή^{nafs} τι-
-οριαφσ ὁ^{dgnp} αὐτός^{rpgms} κτίσμα^{ngnp}. **v.19** ὥστε^{c} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ ἀγαπητός^{avmpn} εἰμί^{vdpx3s} πᾶς^{anmsn} ἄνθρωπος^{nnms} ταχύς^{anmsn} εἰς^{p} ὁ^{dans} ἀκούω^{vnaa} βραδύς^{anmsn} εἰς^{p} ὁ^{dans} λαλέω^{vnaa} βραδύς^{anmsn} εἰς^{p} ὀργή^{nafs}. **v.20** ὀργή^{nnfs} γάρ^{c} ἀνήρ^{ngms} δικαιοσύνη^{nafs} θεός^{ngms} ὅς^{xo} κατεργάζομαι^{vipn3s}. **v.21** διό^{c} ἀποτίθημι^{vpamnmp} πᾶς^{aafsn} ῥυπαρία^{nafs} καί^{c} περισσεία^{nafs} κακία^{ngfs} ἐν^{p} πραΰτης^{ndfs} δέχομαι^{vdad2p} ὁ^{dams} ἔμφυτος^{aamsn} λόγος^{nams} ὁ^{dams} δύναμαι^{vppnams} σῴζω^{vnaa} ὁ^{dafp} ψυχή^{nafp} σύ$^{rpg-p}$. **v.22** γίνομαι^{vdpn2p} δέ^{c} ποιητής^{nnmp} λόγος^{ngms} καί^{c} μή^{xo} μόνος^{bo} ἀκροατής^{nnmp} παραλογίζομαι^{vppnnmp} ἑαυτοῦ^{rxamp}. **v.23** ὅτι^{c} εἰ^{qo} τι-ορινμσ ἀκροατής^{nnms} λόγος^{ngms} εἰμί^{vipx3s} καί^{c} οὐ^{xo} ποιητής^{nnms} οὗτος^{rdnms} ἔοικα^{vixa3s} ἀνήρ^{ndms} κατανοέω^{vppadms} ὁ^{dans} πρόσωπον^{nans} ὁ^{dgfs} γένεσις^{ngfs} αὐτός^{rpgms} ἐν^{p} ἔσοπτρον^{ndns}. **v.24** κατανοέω^{viaa3s} γάρ^{c} ἑαυτοῦ^{rxams} καί^{c} ἀπέρχομαι^{vixa3s} καί^{c} εὐθέως^{bo} ἐπιλανθάνομαι^{viad3s} ὁποῖος^{annsn} εἰμί^{viix3s}.

λὰ ποιητὴς ἔργου οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.
26 Εἴ τις δοκεῖ θρησκὸς εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν
αὐτοῦ ἀλ᾽λ ἀπατῶν καρδίαν αὐτοῦ τούτου μάταιος ἡ θρησκεία.
27 θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη
ἐστίν ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν
ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

2 Ἀδελφοί μου μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ
2 κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης. ἐὰν γὰρ εἰσέλθῃ εἰς
τήν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ
3 εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι. καὶ ἐπιβλέψητε ἐ-
πὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε αὐτῷ, Σὺ
κάθου ὧδε καλῶς καὶ τῷ πτωχῷ εἴπητε Σὺ στῆθι ἐκεῖ ἢ κά-
4 θου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου. καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς
5 καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν. Ἀκούσατε ἀδελφοί
μου ἀγαπητοί, οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου
τούτου, πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασιλείας
6 ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν. ὑμεῖς δὲ ἠτιμάσατε τὸν
πτωχόν οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν καὶ αὐτοὶ ἕλ-
7 κουσιν ὑμᾶς εἰς κριτήρια. οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν
8 ὄνομα τὸ ἐπικληθὲν ἐφ ὑμᾶς. εἰ μέντοι νόμον τελεῖτε βασιλι-
κὸν κατὰ τὴν γραφήν Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν

---

v.25 ὁ^{dnms} δέ^{c} παρακύπτω^{vpaanms} εἰς^{p} νόμος^{nams} τέλειος^{aamsn} ὁ^{dams} ὁ^{dgfs} ἐλευθερία^{ngfs} καί^{c} παραμένω^{vpaanms} οὗτος^{rdnms} οὐ^{xo} ἀκροατής^{nnms} ἐπιλησμονή^{ngfs} γίνομαι^{vpadnms} ἀλλά^{c} ποιητής^{nnms} ἔργον^{ngns} οὗτος^{rdnms} μακάριος^{anmsn} ἐν^{p} ὁ^{ddfs} ποίησις^{ndfs} αὐτός^{rpgms} εἰμί^{vifx3s}. **v.26** εἰ^{qo} τι-σρινμσ δοκέω^{vipa3s} θρησκός^{anmsn} εἰμί^{vnpx} ἐν^{p} σύ$^{rpd-p}$ μή^{xo} χαλιναγωγέω^{vppanms} γλῶσσα^{nafs} αὐτός^{rpgms} ἀλλά^{c} ἀπατάω^{vppanms} καρδία^{nafs} αὐτός^{rpgms} οὗτος^{rdgms} μάταιος^{anmsn} ὁ^{dnfs} θρησκεία^{nnfs}. **v.27** θρησκεία^{nnfs} καθαρός^{anfsn} καί^{c} ἀμίαντος^{anfsn} παρά^{p} ὁ^{ddms} θεός^{ndms} καί^{c} πατήρ^{ndms} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ἐπισκέπτομαι^{vnpn} ὀρφανός^{aampn} καί^{c} χήρα^{nafp} ἐν^{p} ὁ^{ddfs} θλῖψις^{ndfs} αὐτός^{rpgmp} ἄσπιλος^{aamsn} ἑαυτοῦ^{rxams} τηρέω^{vnpa} ἀπό^{p} ὁ^{dgms} κόσμος^{ngms}. **2. v.1** ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ μή^{xo} ἐν^{p} προσωποληψία^{ndfp} ἔχω^{vdpa2p} ὁ^{dafs} πίστις^{nafs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgfs} δόξα^{ngfs}. **v.2** ἐάν^{qo} γάρ^{c} εἰσέρχομαι^{vsaa3s} εἰς^{p} ὁ^{dafs} συναγωγή^{nafs} σύ$^{rpg-p}$ ἀνήρ^{nnms} χρυσοδακτύλιος^{anmsn} ἐν^{p} ἐσθής^{ndfs} λαμπρός^{adfsn} εἰσέρχομαι^{vsaa3s} δέ^{c} καί^{c} πτωχός^{anmsn} ἐν^{p} ῥυπαρός^{adfsn} ἐσθής^{ndfs}. **v.3** καί^{c} ἐπιβλέπω^{vsaa2p} ἐπί^{p} ὁ^{dams} φορέω^{vppaams} ὁ^{dafs} ἐσθής^{nafs} ὁ^{dafs} λαμπρός^{aafsn} καί^{c} λέγω^{vsaa2p} αὐτός^{rpdms} σύ$^{rpn-s}$ κάθημαι^{vdpn2s} ὧδε^{bo} καλῶς^{bo} καί^{c} ὁ^{ddms} πτωχός^{admsn} λέγω^{vsaa2p} σύ$^{rpn-s}$ ἵστημι^{vdaa2s} ἐκεῖ^{bo} ἤ^{xo} κάθημαι^{vdpn2s} ὧδε^{bo} ὑπό^{p} ὁ^{dans} ὑποπόδιον^{nans} ἐγώ$^{rpg-s}$. **v.4** καί^{c} οὐ^{xo} διακρίνω^{viap2p} ἐν^{p} ἑαυτοῦ^{rxdmp} καί^{c} γίνομαι^{viad2p} κριτής^{nnmp} διαλογισμός^{ngmp} πονηρός^{agmpn}. **v.5** ἀκούω^{vdaa2p} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ ἀγαπητός^{avmpn} οὐ^{xo} ὁ^{dnms} θεός^{nnms} ἐκλέγω^{viam3s} ὁ^{damp} πτωχός^{aampn} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} πλούσιος^{aampn} ἐν^{p} πίστις^{ndfs} καί^{c} κληρονόμος^{namp} ὁ^{dgfs} βασιλεία^{ngfs} ὅς^{rrgfs} ἐπαγγέλλομαι^{viad3s} ὁ^{ddmp} ἀγαπάω^{vppadmp} αὐτός^{rpams}. **v.6** σύ$^{rpn-p}$ δέ^{c} ἀτιμάζω^{viaa2p} ὁ^{dams} πτωχός^{aamsn} οὐ^{xo} ὁ^{dnmp} πλούσιος^{anmpn} καταδυναστεύω^{vipa3p} σύ$^{rpg-p}$ καί^{c} αὐτός^{rpnmp} ἕλκω^{vipa3p} σύ$^{rpa-p}$ εἰς^{p} κριτήριον^{nanp}. **v.7** οὐ^{xo} αὐτός^{rpnmp} βλασφημέω^{vipa3p} ὁ^{dans} καλός^{aansn} ὄνομα^{nans} ὁ^{dans} ἐπικαλέω^{vpapans} ἐπί^{p} σύ$^{rpa-p}$.

καλῶς ποιεῖτε, εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε 9
ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται. ὅστις γὰρ ὅλον 10
τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνί γέγονεν πάντων ἔνοχος.
ὁ γὰρ εἰπών Μὴ μοιχεύσῃς εἶπεν καί Μὴ φονεύσῃς, εἰ δὲ οὐ 11
μοιχεύσεις, φονεύσεις δέ γέγονας παραβάτης νόμου. οὕτως 12
λαλεῖτε καὶ οὕτως ποιεῖτε ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες
κρίνεσθαι. ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος, καὶ 13
κατακαυχᾶται ἔλεος κρίσεως. Τί τὸ ὄφελος ἀδελφοί μου ἐὰν 14
πίστιν λέγῃ τις ἔχειν ἔργα δὲ μὴ ἔχῃ μὴ δύναται ἡ πίστις σῶ-
σαι αὐτόν. ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν καὶ 15
λειπόμενοι ὦσιν τῆς ἐφημέρου τροφῆς. εἴπῃ δέ τις αὐτοῖς ἐξ 16
ὑμῶν Ὑπάγετε ἐν εἰρήνῃ θερμαίνεσθε καὶ χορτάζεσθε μὴ δῶτε
δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος τί τὸ ὄφελος. οὕτως καὶ ἡ 17
πίστις ἐὰν μὴ ἔργα ἔχῃ νεκρά ἐστιν καθ ἑαυτήν. Ἀλλ ἐρεῖ τις 18
Σὺ πίστιν ἔχεις κἀγὼ ἔργα ἔχω, δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν
ἔργων σου κἀγώ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου.
σὺ πιστεύεις ὅτι ὁ θεός εἷς ἐστιν καλῶς ποιεῖς, καὶ τὰ δαιμόνια 19
πιστεύουσιν καὶ φρίσσουσιν. θέλεις δὲ γνῶναι ὦ ἄνθρωπε κε- 20
νέ ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. Ἀβραὰμ ὁ πατὴρ 21
ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ

---

v.8 εἰqo μέντοιc νόμοςnams τελέωvipa2p βασιλικόςaamsn κατάp ὁdafs γραφήnafs ἀγαπάωvifa2s ὁdams πλησίονbo σύrpg-s ὡςbo σεαυτοῦrxams καλῶςbo ποιέωvipa2p. **v.9** εἰqo δέc προσωποληπτέωvipa2p ἁμαρτίαnafs ἐργάζομαιvipn2p ἐλέγχωvpppnmp ὑπόp ὁdgms νόμοςngms ὡςbo παραβάτηςnnmp. **v.10** ὅστιςrrnms γάρc ὅλοςaamsn ὁdams νόμοςnams τηρέωvifa3s πταίωvifa3s δέc ἐνp εἷςndms γίνομαιvixa3s πᾶςagmpn ἔνοχοςanmsn. **v.11** ὁdnms γάρc λέγωvpaanms μήxo μοιχεύωvsaa2s λέγωviaa3s καίc μήxo φονεύωvsaa2s εἰqo δέc οὐxo μοιχεύωvifa2s φονεύωvifa2s δέc γίνομαιvixa2s παραβάτηςnnms νόμοςngms. **v.12** οὕτωbo λαλέωvdpa2p καίc οὕτωbo ποιέωvdpa2p ὡςbo διάp νόμοςngms ἐλευθερίαngfs μέλλωvppanmp κρίνωvnpp. **v.13** ὁdnfs γάρc κρίσιςnnfs ἀνέλεοςanfsn ὁddms μήxo ποιέωvpaadms ἔλεοςnans καίc κατακαυχάομαιvipn3s ἔλεοςnnns κρίσιςngfs. **v.14** τίςrqnns ὁdnns ὄφελοςnnns ἀδελφόςnvmp ἐγώrpg-s ἐάνqo πίστιςnafs λέγωvspa3s τι-σρινμσ ἔχωvnpa ἔργονnanp δέc μήxo ἔχωvspa3s μήxo δύναμαιvipn3s ὁdnfs πίστιςnnfs σῴζωvnaa αὐτόςrpams. **v.15** ἐάνqo δέc ἀδελφόςnnms ἤxo ἀδελφήnnfs γυμνόςanmpn ὑπάρχωvspa3p καίc λείπωvpppnmp εἰμίvspx3p ὁdgfs ἐφήμεροςagfsn τροφήngfs. **v.16** λέγωvsaa3s δέc τι-σρινμσ αὐτόςrpdmp ἐκp σύrpg-p ὑπάγωvdpa2p ἐνp εἰρήνηndfs θερμαίνομαιvdpe2p καίc χορτάζωvdpp2p μήxo δίδωμιvsaa2p δέc αὐτόςrpdmp ὁdanp ἐπιτήδειοςaanpn ὁdgns σῶμαngns τίςrqnns ὁdnns ὄφελοςnnns. **v.17** οὕτωbo καίc ὁdnfs πίστιςnnfs ἐάνqo μήxo ἔργονnanp ἔχωvspa3s νεκρόςanfsn εἰμίvipx3s κατάp ἑαυτοῦrxafs. **v.18** ἀλλάc λέγωvifa3s τι-σρινμσ σύrpn-s πίστιςnafs ἔχωvipa2s κἀγώrpn-s ἔργονnanp ἔχωvipa1s δείκνυμιvdaa2s ἐγώrpd-s ὁdafs πίστιςnafs σύrpg-s ἐκp ὁdgnp ἔργονngnp σύrpg-s κἀγώrpn-s δείκνυμιvifa1s σύrpd-s ἐκp ὁdgnp ἔργονngnp ἐγώrpg-s ὁdafs πίστιςnafs ἐγώrpg-s. **v.19** σύrpn-s πιστεύωvipa2s ὅτιc ὁdnms θεόςnnms εἷςnnms εἰμίvipx3s καλῶςbo ποιέωvipa2s καίc ὁdnnp δαιμόνιονnnnp πιστεύωvipa3p καίc φρίσσωvipa3p. **v.20** θέλωvipa2s δέc γινώσκωvnaa ὦi ἄνθρωποςnvms κενόςavmsn ὅτιc ὁdnfs πίστιςnnfs χωρίςbo ὁdgnp ἔργονngnp νεκρόςanfsn εἰμίvipx3s.

22 ἐπὶ τὸ θυσιαστήριον. βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις
23 αὐτοῦ καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη. καὶ ἐπληρώθη ἡ
γραφὴ ἡ λέγουσα Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη
24 αὐτῷ εἰς δικαιοσύνην καὶ φίλος θεοῦ ἐκλήθη. ὁρᾶτε τοίνυν
ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνον.
25 ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη ὑποδεξα-
26 μένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα. ὥσπερ γὰρ τὸ
σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν οὕτως καὶ ἡ πίστις χωρὶς
τῶν ἔργων νεκρά ἐστιν.

3 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε ἀδελφοί μου εἰδότες ὅτι μεῖ-
2 ζον κρίμα ληψόμεθα. πολλὰ γὰρ πταίομεν ἅπαντες εἴ τις ἐν
λόγῳ οὐ πταίει οὗτος τέλειος ἀνήρ δυνατὸς χαλιναγωγῆσαι καὶ
3 ὅλον τὸ σῶμα. ἰδού, τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα
βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν καὶ ὅλον τὸ σῶμα
4 αὐτῶν μετάγομεν. ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα καὶ ὑπὸ
σκληρῶν ἀνέμων ἐλαυνόμενα μετάγεται ὑπὸ ἐλαχίστου πηδα-
5 λίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται. οὕτως καὶ
ἡ γλῶσσα μικρὸν μέλος ἐστὶν καὶ μεγάλαυχεῖ. Ἰδοὺ ὀλίγον
6 πῦρ ἡλίκην ὕλην ἀνάπτει, καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς
ἀδικίας οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν ἡ σπι-
λοῦσα ὅλον τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως

---

v.21 Ἀβραάμ^{tp} ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg\text{-}p}$ οὐ^{xo} ἐκ^{p} ἔργον^{ngnp} δικαιόω^{viap3s} ἀναφέρω^{vpaanms} Ἰσαάκ^{tp} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} ἐπί^{p} ὁ^{dans} θυσιαστήριον^{nans}. **v.22** βλέπω^{vipa2s} ὅτι^{c} ὁ^{dnfs} πίστις^{nnfs} συνεργέω^{viia3s} ὁ^{ddnp} ἔργον^{ndnp} αὐτός^{rpgms} καί^{c} ἐκ^{p} ὁ^{dgnp} ἔργον^{ngnp} ὁ^{dnfs} πίστις^{nnfs} τελειόω^{viap3s}. **v.23** καί^{c} πληρόω^{viap3s} ὁ^{dnfs} γραφή^{nnfs} ὁ^{dnfs} λέγω^{vppanfs} πιστεύω^{viaa3s} δέ^{c} Ἀβραάμ^{tp} ὁ^{ddms} θεός^{ndms} καί^{c} λογίζομαι^{viap3s} αὐτός^{rpdms} εἰς^{p} δικαιοσύνη^{nafs} καί^{c} φίλος^{anmsn} θεός^{ngms} καλέω^{viap3s}. **v.24** ὁράω^{vipa2p} τοίνυν^{xo} ὅτι^{c} ἐκ^{p} ἔργον^{ngnp} δικαιόω^{vipp3s} ἄνθρωπος^{nnms} καί^{c} οὐ^{xo} ἐκ^{p} πίστις^{ngfs} μόνος^{aansn}. **v.25** ὁμοίως^{bo} δέ^{c} καί^{c} Ῥαάβ^{tp} ὁ^{dnfs} πόρνη^{nnfs} οὐ^{xo} ἐκ^{p} ἔργον^{ngnp} δικαιόω^{viap3s} ὑποδέχομαι^{vpadnfs} ὁ^{damp} ἄγγελος^{namp} καί^{c} ἕτερος^{adfsn} ὁδός^{ndfs} ἐκβάλλω^{vpaanfs}. **v.26** ὥσπερ^{bo} γάρ^{c} ὁ^{dnns} σῶμα^{nnns} χωρίς^{bo} πνεῦμα^{ngns} νεκρός^{annsn} εἰμί^{vipx3s} οὕτω^{bo} καί^{c} ὁ^{dnfs} πίστις^{nnfs} χωρίς^{bo} ὁ^{dgnp} ἔργον^{ngnp} νεκρός^{anfsn} εἰμί^{vipx3s}. **3. v.1** μή^{xo} πολύς^{anmpn} διδάσκαλος^{nnmp} γίνομαι^{vdpn2p} ἀδελφός^{nvmp} ἐγώ$^{rpg\text{-}s}$ οἶδα^{vpxanmp} ὅτι^{c} μέγας^{aansc} κρίμα^{nans} λαμβάνω^{vifd1p}. **v.2** πολύς^{aanpn} γάρ^{c} πταίω^{vipa1p} ἅπας^{anmpn} εἰ^{qo} τι-ορινμσ ἐν^{p} λόγος^{ndms} οὐ^{xo} πταίω^{vipa3s} οὗτος^{rdnms} τέλειος^{anmsn} ἀνήρ^{nnms} δυνατός^{anmsn} χαλιναγωγέω^{vnaa} καί^{c} ὅλος^{aansn} ὁ^{dans} σῶμα^{nans}. **v.3** ἰδού^{vdaa2s} ὁ^{dgmp} ἵππος^{ngmp} ὁ^{damp} χαλινός^{namp} εἰς^{p} ὁ^{danp} στόμα^{nanp} βάλλω^{vipa1p} πρός^{p} ὁ^{dans} πείθω^{vnpp} αὐτός^{rpamp} ἐγώ$^{rpd\text{-}p}$ καί^{c} ὅλος^{aansn} ὁ^{dans} σῶμα^{nans} αὐτός^{rpgmp} μετάγω^{vipa1p}. **v.4** ἰδού^{vdaa2s} καί^{c} ὁ^{dnnp} πλοῖον^{nnnp} τηλικοῦτος^{rdnnp} εἰμί^{vppxnnp} καί^{c} ὑπό^{p} σκληρός^{agmpn} ἄνεμος^{ngmp} ἐλαύνω^{vpppnnp} μετάγω^{vipp3s} ὑπό^{p} ἐλάχιστος^{agnsn} πηδάλιον^{ngns} ὅπου^{bo} ἄν^{xo} ὁ^{dnfs} ὁρμή^{nnfs} ὁ^{dgms} εὐθύνω^{vppagms} βούλομαι^{vspn3s}. **v.5** οὕτω^{bo} καί^{c} ὁ^{dnfs} γλῶσσα^{nnfs} μικρός^{annsn} μέλος^{nnns} εἰμί^{vipx3s} καί^{c} μεγαλαυχέω^{vipa3s} ἰδού^{vdaa2s} ὀλίγος^{annsn} πῦρ^{nnns} ἡλίκος^{aafsn} ὕλη^{nafs} ἀνάπτω^{vipa3s}.

καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. πᾶσα γὰρ φύσις θηρίων 7
τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμα-
σται τῇ φύσει τῇ ἀνθρωπίνῃ. τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται 8
ἀνθρώπων δαμάσαι ἀκατάσχετον κακόν μεστὴ ἰοῦ θανατηφό-
ρου. ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ πατέρα καὶ ἐν αὐτῇ 9
καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ ὁμοίωσιν θεοῦ γεγονό-
τας. ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα οὐ 10
χρή ἀδελφοί μου ταῦτα οὕτως γίνεσθαι. μήτι ἡ πηγὴ ἐκ τῆς 11
αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν. μὴ δύναται ἀδελ- 12
φοί μου συκῆ ἐλαίας ποιῆσαι ἢ ἄμπελος σῦκα οὕτως οὐδεμια
πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ. Τίς σοφὸς καὶ ἐπιστή- 13
μων ἐν ὑμῖν δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ
ἐν πραΰτητι σοφίας. εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν 14
ἐν τῇ καρδίᾳ ὑμῶν μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς
ἀληθείας. οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη ἀλ᾽λ 15
ἐπίγειος ψυχική δαιμονιώδης. ὅπου γὰρ ζῆλος καὶ ἐριθεία ἐ- 16
κεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. ἡ δὲ ἄνωθεν σοφία 17
πρῶτον μὲν ἁγνή ἐστιν ἔπειτα εἰρηνική ἐπιεικὴς εὐπειθὴς με-
στὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν ἀδιάκριτος καὶ ἀνυπόκριτος.
καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν 18

---

v.6 καί^{c} ὁ^{dnfs} γλῶσσα^{nnfs} πῦρ^{nnns} ὁ^{dnms} κόσμος^{nnms} ὁ^{dgfs} ἀδικία^{ngfs} οὕτω^{bo} ὁ^{dnfs} γλῶσσα^{nnfs} καθίστημι^{vipp3s} ἐν^{p} ὁ^{ddnp} μέλος^{ndnp} ἐγώ$^{rpg-p}$ ὁ^{dnfs} σπιλόω^{vppanfs} ὅλος^{aansn} ὁ^{dans} σῶμα^{nans} καί^{c} φλογίζω^{vppanfs} ὁ^{dams} τροχός^{nams} ὁ^{dgfs} γένεσις^{ngfs} καί^{c} φλογίζω^{vpppnfs} ὑπό^{p} ὁ^{dgfs} γέεννα^{ngfs}.
v.7 πᾶς^{anfsn} γάρ^{c} φύσις^{nnfs} θηρίον^{ngnp} τέ^{xo} καί^{c} πετεινός^{ngnp} ἑρπετόν^{ngnp} τέ^{xo} καί^{c} ἐνάλιος^{agnpn} δαμάζω^{vipp3s} καί^{c} δαμάζω^{vixp3s} ὁ^{ddfs} φύσις^{ndfs} ὁ^{ddfs} ἀνθρώπινος^{adfsn}. **v.8** ὁ^{dafs} δέ^{c} γλῶσσα^{nafs} οὐδείς^{anfsn} δύναμαι^{vipn3s} ἄνθρωπος^{ngmp} δαμάζω^{vnaa} ἀκατάσχετος^{annsn} κακός^{annsn} μεστός^{anfsn} ἰός^{ngms} θανατηφόρος^{agmsn}. **v.9** ἐν^{p} αὐτός^{rpdfs} εὐλογέω^{vipa1p} ὁ^{dams} θεός^{nams} καί^{c} πατήρ^{nams} καί^{c} ἐν^{p} αὐτός^{rpdfs} καταράομαι^{vipn1p} ὁ^{damp} ἄνθρωπος^{namp} ὁ^{damp} κατά^{p} ὁμοίωσις^{nafs} θεός^{ngms} γίνομαι^{vpxaamp}. **v.10** ἐκ^{p} ὁ^{dgns} αὐτός^{rpgns} στόμα^{ngns} ἐξέρχομαι^{vipn3s} εὐλογία^{nnfs} καί^{c} κατάρα^{nnfs} οὐ^{xo} χρή^{vipq3s} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ οὗτος^{rdnnp} οὕτω^{bo} γίνομαι^{vnpn}. **v.11** μήτι^{xo} ὁ^{dnfs} πηγή^{nnfs} ἐκ^{p} ὁ^{dgfs} αὐτός^{rpgfs} ὀπή^{ngfs} βρύω^{vipa3s} ὁ^{dans} γλυκύς^{aansn} καί^{c} ὁ^{dans} πικρός^{aansn}. **v.12** μή^{xo} δύναμαι^{vipn3s} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ συκῆ^{nnfs} ἐλαία^{nafp} ποιέω^{vnaa} ἤ^{xo} ἄμπελος^{nnfs} σῦκον^{nanp} οὕτω^{bo} οὐδείς^{anfsn} πηγή^{nnfs} ἁλυκός^{aansn} καί^{c} γλυκύς^{aansn} ποιέω^{vnaa} ὕδωρ^{nans}. **v.13** τίς^{rqnms} σοφός^{anmsn} καί^{c} ἐπιστήμων^{anmsn} ἐν^{p} σύ$^{rpd-p}$ δείκνυμι^{vdaa3s} ἐκ^{p} ὁ^{dgfs} καλός^{agfsn} ἀναστροφή^{ngfs} ὁ^{danp} ἔργον^{nanp} αὐτός^{rpgms} ἐν^{p} πραΰτης^{ndfs} σοφία^{ngfs}. **v.14** εἰ^{qo} δέ^{c} ζῆλος^{nams} πικρός^{aamsn} ἔχω^{vipa2p} καί^{c} ἐριθεία^{nafs} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-p}$ μή^{xo} κατακαυχάομαι^{vdpn2p} καί^{c} ψεύδομαι^{vdpm2p} κατά^{p} ὁ^{dgfs} ἀλήθεια^{ngfs}. **v.15** οὐ^{xo} εἰμί^{vipx3s} οὗτος^{rdnfs} ὁ^{dnfs} σοφία^{nnfs} ἄνωθεν^{bo} κατέρχομαι^{vppnnfs} ἀλλά^{c} ἐπίγειος^{anfsn} ψυχικός^{anfsn} δαιμονιώδης^{anfsn}. **v.16** ὅπου^{bo} γάρ^{c} ζῆλος^{nnms} καί^{c} ἐριθεία^{nnfs} ἐκεῖ^{bo} ἀκαταστασία^{nnfs} καί^{c} πᾶς^{annsn} φαῦλος^{annsn} πρᾶγμα^{nnns}. **v.17** ὁ^{dnfs} δέ^{c} ἄνωθεν^{bo} σοφία^{nnfs} πρῶτος^{bo} μέν^{xo} ἁγνός^{anfsn} εἰμί^{vipx3s} ἔπειτα^{bo} εἰρηνικός^{anfsn} ἐπιεικής^{anfsn} εὐπειθής^{anmsn} μεστός^{anfsn} ἔλεος^{ngns} καί^{c} κάρπος^{ngmp} ἀγαθός^{agmpn} ἀδιάκριτος^{anfsn} καί^{c} ἀνυπόκριτος^{anfsn}.

εἰρήνην.

4 Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν οὐκ ἐντεῦθεν ἐκ τῶν ἡ-
2 δονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν. ἐπι-
θυμεῖτε καὶ οὐκ ἔχετε φονεύετε καὶ ζηλοῦτε καὶ οὐ δύνασθε
ἐπιτυχεῖν μάχεσθε καὶ πολεμεῖτε οὐκ ἔχετε δὲ, διὰ τὸ μὴ αἰτεῖ-
3 σθαι ὑμᾶς. αἰτεῖτε καὶ οὐ λαμβάνετε διότι κακῶς αἰτεῖσθε ἵνα
4 ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. μοιχοὶ καὶ μοιχαλίδες οὐκ
οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ θεοῦ ἐστιν ὃς ἂν οὖν
βουληθῇ φίλος εἶναι τοῦ κόσμου ἐχθρὸς τοῦ θεοῦ καθίσταται.
5 ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει Πρὸς φθόνον ἐπιποθεῖ τὸ
6 πνεῦμα ὃ κατῴκησεν ἐν ἡμῖν. μείζονα δὲ δίδωσιν χάριν διὸ
λέγει Ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται ταπεινοῖς δὲ δίδωσιν
7 χάριν. ὑποτάγητε οὖν τῷ θεῷ ἀντίστητε τῷ διαβόλῳ καὶ φεύ-
8 ξεται ἀφ ὑμῶν. ἐγγίσατε τῷ θεῷ καὶ ἐγγιεῖ ὑμῖν καθαρίσατε
9 χεῖρας ἁμαρτωλοί καὶ ἁγνίσατε καρδίας δίψυχοι. ταλαιπω-
ρήσατε καὶ πενθήσατε καὶ κλαύσατε ὁ γέλως ὑμῶν εἰς πένθος
θρόνους εἴδον τοὺς εἴκοσι καὶ τέσσαρας πρεσβυτέρους καθη-
μένους περιβεβλημένους ἐν ἱματίοις λευκοῖς καὶ ἔσχον ἐπὶ τὰς
κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς. καὶ ἐκ τοῦ θρόνου ἐκπο- 5
ρεύονται ἀστραπαὶ καὶ βρονταί καὶ φωναὶ καὶ ἑπτὰ λαμπάδες
πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου αἵ εἰσιν τὰ ἑπτὰ πνεύ-
ματα τοῦ θεοῦ. καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη ὁ- 6
μοία κρυστάλλῳ Καὶ ἐν μέσῳ τοῦ θρόνου καὶ κύκλῳ τοῦ θρόνου
τέσσαρα ζῷα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν. καὶ 7
τὸ ζῷον τὸ πρῶτον ὅμοιον λέοντι καὶ τὸ δεύτερον ζῷον ὅμοιον
μόσχῳ καὶ τὸ τρίτον ζῷον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος καὶ
τὸ τέταρτον ζῷον ὅμοιον ἀετῷ πετωμένῳ. καὶ τέσσαρα ζῷα ἓν 8
καθ ἑαυτὸ εἶχον ἀνὰ πτέρυγας ἕξ κυκλόθεν καὶ ἔσωθεν γέμοντα
ὀφθαλμῶν καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς λέ-

---

v.22 ὁ^dnms ἔχω^vppanms οὗς^nans ἀκούω^vdaa3s τίς^rqans ὁ^dnns πνεῦμα^nnns λέγω^vipa3s ὁ^ddfp ἐκκλησία^ndfp. **4. v.1** μετά^p οὗτος^rdanp ὁράω^viaa1s καί^c ἰδού^vdaa2s θύρα^nnfs ἀνοίγω^vpxpnfs ἐν^p ὁ^ddms οὐρανός^ndms καί^c ὁ^dnfs φωνή^nnfs ὁ^dnfs πρῶτος^anfsn ὅς^rrafs ἀκούω^viaa1s ὡς^bo σάλπιγξ^ngfs λαλέω^vppagfs μετά^p ἐγώ^rpg-s λέγω^vppanfs ἀναβαίνω^vdaa2s ὧδε^bo καί^c δείκνυμι^vifa1s σύ^rpd-s ὅς^rranp δεῖ^vipq3s γίνομαι^vnad μετά^p οὗτος^rdanp. **v.2** καί^c εὐθέως^bo γίνομαι^viad1s ἐν^p πνεῦμα^ndns καί^c ἰδού^vdaa2s θρόνος^nnms κεῖμαι^viin3s ἐν^p ὁ^ddms οὐρανός^ndms καί^c ἐπί^p ὁ^dgms θρόνος^ngms κάθημαι^vppnnms. **v.3** καί^c ὁ^dnms κάθημαι^vppnnms εἰμί^viix3s ὅμοιος^anmsn ὅρασις^ndfs λίθος^ndms ἴασπις^ndfs καί^c σάρδιον^ndms καί^c ἶρις^nnfs κυκλόθεν^bo ὁ^dgms θρόνος^ngms ὅμοιος^anmsn ὅρασις^ndfs σμαράγδινος^admsn. **v.4** καί^c κυκλόθεν^bo ὁ^dgms θρόνος^ngms θρόνος^nnmp εἴκοσι^nnmp καί^c τέσσαρες^nnmp καί^c ἐπί^p ὁ^damp θρόνος^namp ὁράω^viaa1s ὁ^damp εἴκοσι^nnmp καί^c τέσσαρες^namp πρεσβύτερος^aampn κάθημαι^vppnamp περιβάλλω^vpxpamp ἐν^p ἱμάτιον^ndnp λευκός^adnpn καί^c ἔχω^viaa3p ἐπί^p ὁ^dafp κεφαλή^nafp αὐτός^rpgmp στέφανος^namp χρυσοῦς^aampn. **v.5** καί^c ἐκ^p ὁ^dgms θρόνος^ngms ἐκπορεύομαι^vipn3p ἀστραπή^nnfp καί^c βροντή^nnfp καί^c φωνή^nnfp καί^c ἑπτά^tn λαμπάς^nnfp πῦρ^ngns καίω^vpppnfp ἐνώπιον^bo ὁ^dgms θρόνος^ngms ὅς^rrnfp εἰμί^vipx3p ὁ^dnnp ἑπτά^tn πνεῦμα^nnnp ὁ^dgms θεός^ngms. **v.6** καί^c ἐνώπιον^bo ὁ^dgms θρόνος^ngms θάλασσα^nnfs ὑάλινος^anfsn ὅμοιος^anfsn κρύσταλλος^ndms καί^c ἐν^p μέσος^adnsn ὁ^dgms θρόνος^ngms καί^c κύκλῳ^ndms ὁ^dgms θρόνος^ngms τέσσαρες^nnnp ζῷον^nnnp γέμω^vppannp ὀφθαλμός^ngmp ἔμπροσθεν^bo καί^c ὄπισθεν^bo. **v.7** καί^c ὁ^dnns ζῷον^nnns ὁ^dnns πρῶτος^annsn ὅμοιος^annsn λέων^ndms καί^c ὁ^dnns δεύτερος^annsn ζῷον^nnns ὅμοιος^annsn μόσχος^ndms καί^c ὁ^dnns τρίτος^annsn ζῷον^nnns ἔχω^vppanns ὁ^dans πρόσωπον^nans ὡς^bo ἄνθρωπος^nnms καί^c ὁ^dnns τέταρτος^annsn ζῷον^nnns ὅμοιος^annsn ἀετός^ndms πέτομαι^vppndms.

γοντα, Ἅγιος ἅγιος ἅγιος κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὁ ἦν
9 καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος. καὶ ὅταν δώσουσιν τὰ ζῷα δόξαν καὶ
τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι
10 εἰς τοὺς αἰῶνας τῶν αἰώνων. πεσοῦνται οἱ εἴκοσι καὶ τέσσαρες
πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου καὶ προσ-
κυνοῦσιν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων καὶ βάλλουσιν
11 τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου λέγοντες. Ἄξιος εἶ
Κύριε, λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν ὅτι σὺ
ἔκτισας τὰ πάντα καὶ διὰ τὸ θέλημά σου εἰσιν καὶ ἐκτίσθησαν.

5 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου
βιβλίον γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν κατεσφραγισμένον
2 σφραγῖσιν ἑπτά. καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ
μεγάλῃ Τίς ἐστιν ἄξιος ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφρα-
3 γῖδας αὐτοῦ. καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ οὐδὲ ἐπὶ τῆς
γῆς οὐδὲ ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον οὐδὲ βλέπειν αὐ-
4 τό. καὶ ἐγὼ ἔκλαιον πολλά, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι
5 καὶ ἀναγνῶναι τὸ βιβλίον οὔτε βλέπειν αὐτό. καὶ εἷς ἐκ τῶν
πρεσβυτέρων λέγει μοι Μὴ κλαῖε ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ὢν
ἐκ τῆς φυλῆς Ἰούδα ἡ ῥίζα Δαβίδ, ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι
6 τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ. Καὶ εἶδον καὶ ἰδού, ἐν μέσῳ τοῦ

---

v.8 καί^{c} τέσσαρες^{nnnp} ζῷον^{nnnp} εἷς^{nnns} κατά^{p} ἑαυτοῦ^{rxans} ἔχω^{viia3p} ἀνά^{p} πτέρυξ^{nafp} ἓξ^{tn} κυκλόθεν^{bo} καί^{c} ἔσωθεν^{bo} γέμω^{vppannp} ὀφθαλμός^{ngmp} καί^{c} ἀνάπαυσις^{nafs} οὐ^{xo} ἔχω^{vipa3p} ἡμέρα^{ngfs} καί^{c} νύξ^{ngfs} λέγω^{vppaams} ἅγιος^{anmsn} ἅγιος^{anmsn} ἅγιος^{anmsn} κύριος^{nnms} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} παντοκράτωρ^{nnms} ὁ^{dnms} εἰμί^{viix3s} καί^{c} ὁ^{dnms} εἰμί^{vppxnms} καί^{c} ὁ^{dnms} ἔρχομαι^{vppnnms}. **v.9** καί^{c} ὅταν^{c} δίδωμι^{vifa3p} ὁ^{dnnp} ζῷον^{nnnp} δόξα^{nafs} καί^{c} τιμή^{nafs} καί^{c} εὐχαριστία^{nafs} ὁ^{ddms} κάθημαι^{vppndms} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} ὁ^{ddms} ζάω^{vppadms} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp}. **v.10** πίπτω^{vifn3p} ὁ^{dnmp} εἴκοσι^{nnmp} καί^{c} τέσσαρες^{nnmp} πρεσβύτερος^{anmpn} ἐνώπιον^{bo} ὁ^{dgms} κάθημαι^{vppngms} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} καί^{c} προσκυνέω^{vipa3p} ὁ^{ddms} ζάω^{vppadms} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} καί^{c} βάλλω^{vipa3p} ὁ^{damp} στέφανος^{namp} αὐτός^{rpgmp} ἐνώπιον^{bo} ὁ^{dgms} θρόνος^{ngms} λέγω^{vppanmp}. **v.11** ἄξιος^{anmsn} εἰμί^{vipx2s} κύριος^{nvms} λαμβάνω^{vnaa} ὁ^{dafs} δόξα^{nafs} καί^{c} ὁ^{dafs} τιμή^{nafs} καί^{c} ὁ^{dafs} δύναμις^{nafs} ὅτι^{c} σύ$^{rpn-s}$ κτίζω^{viaa2s} ὁ^{danp} πᾶς^{aanpn} καί^{c} διά^{p} ὁ^{dans} θέλημα^{nans} σύ$^{rpg-s}$ εἰμί^{vipx3p} καί^{c} κτίζω^{viap3p}.
5. v.1 καί^{c} ὁράω^{viaa1s} ἐπί^{p} ὁ^{dafs} δεξιός^{aafsn} ὁ^{dgms} κάθημαι^{vppngms} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} βιβλίον^{nans} γράφω^{vpxpans} ἔσωθεν^{bo} καί^{c} ὄπισθεν^{bo} κατασφραγίζω^{vpxpans} σφραγίς^{ndfp} ἑπτά^{tn}.
v.2 καί^{c} ὁράω^{viaa1s} ἄγγελος^{nams} ἰσχυρός^{aamsn} κηρύσσω^{vppaams} φωνή^{ndfs} μέγας^{adfsn} τίς^{rqnms} εἰμί^{vipx3s} ἄξιος^{anmsn} ἀνοίγω^{vnaa} ὁ^{dans} βιβλίον^{nans} καί^{c} λύω^{vnaa} ὁ^{dafp} σφραγίς^{nafp} αὐτός^{rpgns}.
v.3 καί^{c} οὐδείς^{anfsn} δύναμαι^{viin3s} ἐν^{p} ὁ^{ddms} οὐρανός^{ndms} οὐδέ^{bo} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} οὐδέ^{bo} ὑποκάτω^{bo} ὁ^{dgfs} γῆ^{ngfs} ἀνοίγω^{vnaa} ὁ^{dans} βιβλίον^{nans} οὐδέ^{bo} βλέπω^{vnpa} αὐτός^{rpans}. **v.4** καί^{c} ἐγώ$^{rpn-s}$ κλαίω^{viia1s} πολύς^{aanpn} ὅτι^{c} οὐδείς^{anfsn} ἄξιος^{anmsn} εὑρίσκω^{viap3s} ἀνοίγω^{vnaa} καί^{c} ἀναγινώσκω^{vnaa} ὁ^{dans} βιβλίον^{nans} οὔτε^{c} βλέπω^{vnpa} αὐτός^{rpans}. **v.5** καί^{c} εἷς^{nnms} ἐκ^{p} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} λέγω^{vipa3s} ἐγώ$^{rpd-s}$ μή^{xo} κλαίω^{vdpa2s} ἰδού^{vdaa2s} νικάω^{viaa3s} ὁ^{dnms} λέων^{nnms} ὁ^{dnms} εἰμί^{vppxnms} ἐκ^{p} ὁ^{dgfs} φυλή^{ngfs} Ἰούδας^{ngms} ὁ^{dnfs} ῥίζα^{nnfs} Δαυίδ^{tp} ἀνοίγω^{vnaa} ὁ^{dans} βιβλίον^{nans} καί^{c} λύω^{vnaa} ὁ^{dafp} ἑπτά^{tn} σφραγίς^{nafp} αὐτός^{rpgns}.

θρόνου καὶ τῶν τεσσάρων ζῴων καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων
ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλ-
μοὺς ἑπτά οἵ εἰσιν τὰ ἑπτὰ τοῦ θεοῦ πνεύματα τὰ ἀπεσταλμένα
εἰς πᾶσαν τὴν γῆν. καὶ ἦλθεν καὶ εἴληφεν τὸ βιβλίον ἐκ τῆς δε- 7
ξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου. καὶ ὅτε ἔλαβεν τὸ βιβλίον 8
τὰ τέσσαρα ζῷα καὶ οἱ εἴκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώ-
πιον τοῦ ἀρνίου ἔχοντες ἕκαστος κιθάρας, καὶ φιάλας χρυσᾶς
γεμούσας θυμιαμάτων αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων. καὶ 9
ᾄδουσιν ᾠδὴν καινὴν λέγοντες Ἄξιος εἶ λαβεῖν τὸ βιβλίον καὶ ἀ-
νοῖξαι τὰς σφραγῖδας αὐτοῦ ὅτι ἐσφάγης καὶ ἠγόρασας τῷ θεῷ
ἡμᾶς ἐν τῷ αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λα-
οῦ καὶ ἔθνους. καὶ ἐποίησας ἡμᾶς τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ 10
ἱερεῖς καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς. Καὶ εἶδον καὶ ἤκουσα 11
φωνὴν ἀγγέλων πολλῶν κύκλοθεν τοῦ θρόνου καὶ τῶν ζῴων καὶ
τῶν πρεσβυτέρων καὶ χιλιάδες χιλιάδων. λέγοντες φωνῇ με- 12
γάλῃ Ἄξιόν ἐστιν τὸ ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν
καὶ πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ δόξαν καὶ εὐ-
λογίαν. καὶ πᾶν κτίσμα ὃ ἐστιν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, 13
καὶ ὑποκάτω τῆς γῆς καὶ ἐπὶ τῆς θαλάσσης ἅ ἐστίν καὶ τὰ ἐν
αὐτοῖς πάντα ἤκουσα λέγοντας Τῷ καθημένῳ ἐπὶ τοῦ θρόνοῦ
καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ τὸ κράτος

---

v.6 καίc ὁράωviaa1s καίc ἰδούvdaa2s ἐνp μέσοςadnsn ὁdgms θρόνοςngms καίc ὁdgnp τέσσαρεςngnp ζῷονngnp καίc ἐνp μέσοςadnsn ὁdgmp πρεσβύτεροςagmpn ἀρνίονnnns ἵστημιvpxanns ὡςbo σφάζωvpxpnns ἔχωvppanns κέραςnanp ἑπτάtn καίc ὀφθαλμόςnamp ἑπτάtn ὅςrrnmp εἰμίvipx3p ὁdnnp ἑπτάtn ὁdgms θεόςngms πνεῦμαnnnp ὁdnnp ἀποστέλλωvpxpnnp εἰςp πᾶςaafsn ὁdafs γῆnafs. **v.7** καίc ἔρχομαιviaa3s καίc λαμβάνωvixa3s ὁdans βιβλίονnans ἐκp ὁdgfs δεξιόςagfsn ὁdgms κάθημαιvppngms ἐπίp ὁdgms θρόνοςngms. **v.8** καίc ὅτεbo λαμβάνωviaa3s ὁdans βιβλίονnans ὁdnnp τέσσαρεςnnnp ζῷονnnnp καίc ὁdnmp εἴκοσιtn πρεσβύτεροςanmpn πίπτωviaa3p ἐνώπιονbo ὁdgns ἀρνίονngns ἔχωvppanmp ἕκαστοςanmsn κιθάραnafp καίc φιάληnafp χρυσοῦςaafpn γέμωvppaafp θυμίαμαngnp ὅςrrnfp εἰμίvipx3p ὁdnfp προσευχήnnfp ὁdgmp ἁγιοςagmpn. **v.9** καίc ᾄδωvipa3p ᾠδήnafs καινόςaafsn λέγωvppanmp ἄξιοςanmsn εἰμίvipx2s λαμβάνωvnaa ὁdans βιβλίονnans καίc ἀνοίγωvnaa ὁdafp σφραγίςnafp αὐτόςrpgns ὅτιc σφάζωviap2s καίc ἀγοράζωviaa2s ὁddms θεόςndms ἐγώrpa-p ἐνp ὁddns αἷμαndns σύrpg-s ἐκp πᾶςagfsn φυλήngfs καίc γλῶσσαngfs καίc λαόςngms καίc ἔθνοςngns. **v.10** καίc ποιέωviaa2s ἐγώrpa-p ὁddms θεόςndms ἐγώrpg-p βασιλεύςnamp καίc ἱερεύςnamp καίc βασιλεύωvifa1p ἐπίp ὁdgfs γῆngfs. **v.11** καίc ὁράωviaa1s καίc ἀκούωviaa1s φωνήnafs ἄγγελοςngmp πολύςagmpn κυκλόθενbo ὁdgms θρόνοςngms καίc ὁdgnp ζῷονngnp καίc ὁdgmp πρεσβύτεροςagmpn καίc χιλιάςnnfp χιλιάςnnfp. **v.12** λέγωvppanmp φωνῇndfs μέγαςadfsn ἄξιοςannsn εἰμίvipx3s ὁdnns ἀρνίονnnns ὁdnns σφάζωvpxpnns λαμβάνωvnaa ὁdafs δύναμιςnafs καίc πλοῦτοςnams καίc σοφίαnafs καίc ἰσχύςnafs καίc τιμήnafs καίc δόξαnafs καίc εὐλογίαnafs.

14 εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ τὰ τέσσαρα ζῷα ἔλεγον Ἀμήν
καὶ οἱ εἴκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν καὶ προσεκύνησαν
ζῶντι εἰς τοὺς αἰωνας τῶν αἰώνων.

6 Καὶ εἶδον ὅτε ἤνοιξεν τὸ ἀρνίον μίαν ἐκ τῶν σφραγίδων καὶ
ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζῴων λέγοντος ὡς φωνὴς βρον-
2 τῆς Ἔρχου Καὶ βλέπε. καὶ εἶδον καὶ ἰδοὺ ἵππος λευκός καὶ
ὁ καθήμενος ἐπ αὐτῷ ἔχων τόξον καὶ ἐδόθη αὐτῷ στέφανος
3 καὶ ἐξῆλθεν νικῶν καὶ ἵνα νικήσῃ. Καὶ ὅτε ἤνοιξεν τὴν δευ-
τέραν σφραγῖδα ἤκουσα τοῦ δευτέρου ζῴου λέγοντος Ἔρχου
4 Καὶ βλέπε. καὶ ἐξῆλθεν ἄλλος ἵππος πυρρός καὶ τῷ καθημένῳ
ἐπ αὐτῷ ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς καὶ ἵνα
5 ἀλλήλους σφάξωσιν καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη. Καὶ ὅτε
ἤνοιξεν τὴν τρίτην σφραγῖδα ἤκουσα τοῦ τρίτου ζῴου λέγοντος
Ἔρχου καὶ βλέπε. καὶ εἶδον καὶ ἰδοὺ ἵππος μέλας Καὶ ὁ κα-
6 θήμενος ἐπ αὐτῷ ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἤκουσα
φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζῴων λέγουσαν Χοῖνιξ σίτου δη-
ναρίου καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου καὶ τὸ ἔλαιον καὶ
7 τὸν οἶνον μὴ ἀδικήσῃς. Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν
τετάρτην ἤκουσα φωνὴν τοῦ τετάρτου ζῴου λέγουσαν, Ἔρχου
8 Καὶ βλέπε. καὶ εἶδον καὶ ἰδοὺ ἵππος χλωρός καὶ ὁ καθήμε-

---

v.13 καί^{c} πᾶς^{aansn} κτίσμα^{nans} ὅς^{rrnns} εἰμί^{vipx3s} ἐν^{p} ὁ^{ddms} οὐρανός^{ndms} καί^{c} ἐν^{p} ὁ^{ddfs} γῆ^{ndfs} καί^{c} ὑποκάτω^{bo} ὁ^{dgfs} γῆ^{ngfs} καί^{c} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} ὅς^{rranp} εἰμί^{vipx3s} καί^{c} ὁ^{danp} ἐν^{p} αὐτός^{rpdnp} πᾶς^{aanpn} ἀκούω^{viaa1s} λέγω^{vppaamp} ὁ^{ddms} κάθημαι^{vppndms} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} καί^{c} ὁ^{ddns} ἀρνίον^{ndns} ὁ^{dnfs} εὐλογία^{nnfs} καί^{c} ὁ^{dnfs} τιμή^{nnfs} καί^{c} ὁ^{dnfs} δόξα^{nnfs} καί^{c} ὁ^{dnns} κράτος^{nnns} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp}. **v.14** καί^{c} ὁ^{dnnp} τέσσαρες^{nnnp} ζῷον^{nnnp} λέγω^{viia3p} ἀμήνth καί^{c} ὁ^{dnmp} εἴκοσι^{tn} πρεσβύτερος^{anmpn} πίπτω^{viaa3p} καί^{c} προσκυνέω^{viaa3p} ζάω^{vppadms} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp}. **6. v.1** καί^{c} ὁράω^{viaa1s} ὅτε^{bo} ἀνοίγω^{viaa3s} ὁ^{dnns} ἀρνίον^{nnns} εἷς^{nafs} ἐκ^{p} ὁ^{dgfp} σφραγίς^{ngfp} καί^{c} ἀκούω^{viaa1s} εἷς^{ngns} ἐκ^{p} ὁ^{dgnp} τέσσαρες^{ngnp} ζῷον^{ngnp} λέγω^{vppagns} ὡς^{bo} φωνή^{ngfs} βροντή^{ngfs} ἔρχομαι^{vipn2s} καί^{c} βλέπω^{vdpa2s}. **v.2** καί^{c} ὁράω^{viaa1s} καί^{c} ἰδού^{vdaa2s} ἵππος^{nnms} λευκός^{anmsn} καί^{c} ὁ^{dnms} κάθημαι^{vppnnms} ἐπί^{p} αὐτός^{rpdms} ἔχω^{vppanms} τόξον^{nans} καί^{c} δίδωμι^{viap3s} αὐτός^{rpdms} στέφανος^{nnms} καί^{c} ἐξέρχομαι^{viaa3s} νικάω^{vppanms} καί^{c} ἵνα^{c} νικάω^{vsaa3s}. **v.3** καί^{c} ὅτε^{bo} ἀνοίγω^{viaa3s} ὁ^{dafs} δεύτερος^{aafsn} σφραγίς^{nafs} ἀκούω^{viaa1s} ὁ^{dgns} δεύτερος^{agnsn} ζῷον^{ngns} λέγω^{vppagns} ἔρχομαι^{vipn2s} καί^{c} βλέπω^{vdpa2s}. **v.4** καί^{c} ἐξέρχομαι^{viaa3s} ἄλλος^{anmsn} ἵππος^{nnms} πυρρός^{anmsn} καί^{c} ὁ^{ddms} κάθημαι^{vppndms} ἐπί^{p} αὐτός^{rpdms} δίδωμι^{viap3s} αὐτός^{rpdms} λαμβάνω^{vnaa} ὁ^{dafs} εἰρήνη^{nafs} ἀπό^{p} ὁ^{dgfs} γῆ^{ngfs} καί^{c} ἵνα^{c} ἀλλήλων^{reamp} σφάζω^{vsaa3p} καί^{c} δίδωμι^{viap3s} αὐτός^{rpdms} μάχαιρα^{nnfs} μέγας^{anfsn}. **v.5** καί^{c} ὅτε^{bo} ἀνοίγω^{viaa3s} ὁ^{dafs} τρίτος^{aafsn} σφραγίς^{nafs} ἀκούω^{viaa1s} ὁ^{dgns} τρίτος^{agnsn} ζῷον^{ngns} λέγω^{vppagns} ἔρχομαι^{vipn2s} καί^{c} βλέπω^{vdpa2s} καί^{c} ὁράω^{viaa1s} καί^{c} ἰδού^{vdaa2s} ἵππος^{nnms} μέλας^{anmsn} καί^{c} ὁ^{dnms} κάθημαι^{vppnnms} ἐπί^{p} αὐτός^{rpdms} ἔχω^{vppanms} ζυγός^{nams} ἐν^{p} ὁ^{ddfs} χείρ^{ndfs} αὐτός^{rpgms}. **v.6** καί^{c} ἀκούω^{viaa1s} φωνή^{nafs} ἐν^{p} μέσος^{adnsn} ὁ^{dgnp} τέσσαρες^{ngnp} ζῷον^{ngnp} λέγω^{vppaafs} χοῖνιξ^{nnms} σῖτος^{ngms} δηνάριον^{ngns} καί^{c} τρεῖς^{nnmp} χοῖνιξ^{nnmp} κριθή^{ngfs} δηνάριον^{ngns} καί^{c} ὁ^{dans} ἔλαιον^{nans} καί^{c} ὁ^{dams} οἶνος^{nams} μή^{xo} ἀδικέω^{vsaa2s}. **v.7** καί^{c} ὅτε^{bo} ἀνοίγω^{viaa3s} ὁ^{dafs} σφραγίς^{nafs} ὁ^{dafs} τέταρτος^{aafsn} ἀκούω^{viaa1s} φωνή^{nafs} ὁ^{dgns} τέταρτος^{agnsn} ζῷον^{ngns} λέγω^{vppaafs} ἔρχομαι^{vipn2s} καί^{c} βλέπω^{vdpa2s}.

νος ἐπάνω αὐτοῦ ὄνομα αὐτῷ ὁ Θάνατος καὶ ὁ ἅδης ἀκολούθει
μετ αὐτοῦ καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖναι ἐπὶ τὸ τέταρτον
τῆς γῆς ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ καὶ ὑπὸ τῶν
θηρίων τῆς γῆς. Καὶ ὅτε ἤνοιξεν τὴν πέμπτην σφραγῖδα εἶδον 9
ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν
λόγον τοῦ θεοῦ καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον. καὶ ἔκρα- 10
ζον φωνῇ μεγάλῃ λέγοντες Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ
ἀληθινός οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν κατοι-
κούντων ἐπὶ τῆς γῆς. καὶ ἐδόθησαν ἑκάστοις στολαὶ λευκαί, 11
καὶ ἐρρέθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρόν ἕως οὗ
πληρωσονται καὶ οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ
μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί. Καὶ εἶδον ὅτε ἤνοι- 12
ξεν τὴν σφραγῖδα τὴν ἕκτην καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο
καὶ ὁ ἥλιος ἐγένετο μέλας ὡς σάκκος τρίχινος καὶ ἡ σελήνη
ἐγένετο ὡς αἷμα. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν 13
γῆν ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς ὑπὸ μεγάλου ἀνέμου
σειομένη. καὶ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱλισσόμενον 14
καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν. καὶ 15
οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ μεγιστᾶνες καὶ οἱ πλούσιοι καὶ οἱ
χιλίαρχοι καὶ οἱ δυνατοί, καὶ πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος

---

v.8 καί^{c} ὁράω^{viaa1s} καί^{c} ἰδού^{vdaa2s} ἵππος^{nnms} χλωρός^{anmsn} καί^{c} ὁ^{dnms} κάθημαι^{vppnnms} ἐπάνω^{bo} αὐτός^{rpgms} ὄνομα^{nnns} αὐτός^{rpdms} ὁ^{dnms} θάνατος^{nnms} καί^{c} ὁ^{dnms} ᾅδης^{nnms} ἀκολουθέω^{vipa3s} μετά^{p} αὐτός^{rpgms} καί^{c} δίδωμι^{viap3s} αὐτός^{rpdmp} ἐξουσία^{nnfs} ἀποκτείνω^{vnaa} ἐπί^{p} ὁ^{dans} τέταρτος^{aansn} ὁ^{dgfs} γῆ^{ngfs} ἐν^{p} ῥομφαία^{ndfs} καί^{c} ἐν^{p} λιμός^{ndms} καί^{c} ἐν^{p} θάνατος^{ndms} καί^{c} ὑπό^{p} ὁ^{dgnp} θηρίον^{ngnp} ὁ^{dgfs} γῆ^{ngfs}. **v.9** καί^{c} ὅτε^{bo} ἀνοίγω^{viaa3s} ὁ^{dafs} πέμπτος^{aafsn} σφραγίς^{nafs} ὁράω^{viaa1s} ὑποκάτω^{bo} ὁ^{dgns} θυσιαστήριον^{ngns} ὁ^{dafp} ψυχή^{nafp} ὁ^{dgmp} σφάζω^{vpxpgmp} διά^{p} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} καί^{c} διά^{p} ὁ^{dafs} μαρτυρία^{nafs} ὅς^{rrafs} ἔχω^{viia3p}. **v.10** καί^{c} κράζω^{viia3p} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanmp} ἕως^{c} πότε^{xo} ὁ^{dnms} δεσπότης^{nnms} ὁ^{dnms} ἅγιος^{anmsn} καί^{c} ὁ^{dnms} ἀληθινός^{anmsn} οὐ^{xo} κρίνω^{vipa2s} καί^{c} ἐκδικέω^{vipa2s} ὁ^{dans} αἷμα^{nans} ἐγώ$^{rpg-p}$ ἀπό^{p} ὁ^{dgmp} κατοικέω^{vppagmp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.11** καί^{c} δίδωμι^{viap3p} ἕκαστος^{admpn} στολή^{nnfp} λευκός^{anfpn} καί^{c} λέγω^{viap3s} αὐτός^{rpdmp} ἵνα^{c} ἀναπαύω^{vsam3p} ἔτι^{bo} χρόνος^{nams} μικρός^{aamsn} ἕως^{c} οὗ^{bo} πληρόω^{vifd3p} καί^{c} ὁ^{dnmp} σύνδουλος^{nnmp} αὐτός^{rpgmp} καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} αὐτός^{rpgmp} ὁ^{dnmp} μέλλω^{vppanmp} ἀποκτείνω^{vnpp} ὡς^{bo} καί^{c} αὐτός^{rpnmp}. **v.12** καί^{c} ὁράω^{viaa1s} ὅτε^{bo} ἀνοίγω^{viaa3s} ὁ^{dafs} σφραγίς^{nafs} ὁ^{dafs} ἕκτος^{aafsn} καί^{c} ἰδού^{vdaa2s} σεισμός^{nnms} μέγας^{anmsn} γίνομαι^{viad3s} καί^{c} ὁ^{dnms} ἥλιος^{nnms} γίνομαι^{viad3s} μέλας^{anmsn} ὡς^{bo} σάκκος^{nnms} τρίχινος^{anmsn} καί^{c} ὁ^{dnfs} σελήνη^{nnfs} γίνομαι^{viad3s} ὡς^{bo} αἷμα^{nans}. **v.13** καί^{c} ὁ^{dnmp} ἀστήρ^{nnmp} ὁ^{dgms} οὐρανός^{ngms} πίπτω^{viaa3p} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} ὡς^{bo} συκῆ^{nnfs} βάλλω^{vipa3s} ὁ^{damp} ὄλυνθος^{namp} αὐτός^{rpgfs} ὑπό^{p} μέγας^{agmsn} ἄνεμος^{ngms} σείω^{vpppnfs}. **v.14** καί^{c} οὐρανός^{nnms} ἀποχωρίζω^{viap3s} ὡς^{bo} βιβλίον^{nnns} ἑλίσσω^{vpppnns} καί^{c} πᾶς^{annsn} ὄρος^{nnns} καί^{c} νῆσος^{nnfs} ἐκ^{p} ὁ^{dgmp} τόπος^{ngmp} αὐτός^{rpgmp} κινέω^{viap3p}.

ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων.
16 καὶ λέγουσιν τοῖς ὄρεσιν καὶ ταῖς πέτραις Πέσετε ἐφ ἡμᾶς καὶ
κρύψατε ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου
17 καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου. ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη
τῆς ὀργῆς αὐτοῦ, καὶ τίς δύναται σταθῆναι.

7 Καὶ Μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς
τέσσαρας γωνίας τῆς γῆς κρατοῦντας τοὺς τέσσαρας ἀνέμους
τῆς γῆς ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς μήτε ἐπὶ τῆς θαλάσσης
2 μήτε ἐπὶ πᾶν δένδρον. καὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀ-
πὸ ἀνατολῆς ἡλίου ἔχοντα σφραγῖδα θεοῦ ζῶντος καὶ ἔκραξεν
φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις οἷς ἐδόθη αὐτοῖς ἀδικῆ-
3 σαι τὴν γῆν καὶ τὴν θάλασσαν. λέγων Μὴ ἀδικήσητε τὴν γῆν
μήτε τὴν θάλασσαν μήτε τὰ δένδρα ἄχρις οὗ σφραγίζωμεν τοὺς
4 δούλους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα
τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων ρμ΄δ χιλιάδες ἐσφραγισμένοι
5 ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ, ἐκ φυλῆς Ἰούδα ιβ΄ χιλιάδες ἐσ-
φραγισμένοι ἐκ φυλῆς Ῥουβὴν ιβ΄ χιλιάδες ἐσφραγισμένοι, ἐκ
6 φυλῆς Γὰδ ιβ΄ χιλιάδες εσφραγισμένοι, ἐκ φυλῆς Ἀσὴρ ιβ΄ χιλι-
άδες εσφραγισμένοι, ἐκ φυλῆς Νεφθαλείμ ιβ΄ χιλιάδες εσφρα-
7 γισμένοι, ἐκ φυλῆς Μανασσῆ ιβ΄ χιλιάδες εσφραγισμένοι, ἐκ
φυλῆς Συμεὼν ιβ΄ χιλιάδες εσφραγισμένοι, ἐκ φυλῆς Λευὶ ιβ΄

---

v.15 καί^{c} ὁ^{dnmp} βασιλεύς^{nnmp} ὁ^{dgfs} γῆ^{ngfs} καί^{c} ὁ^{dnmp} μεγιστάν^{nnmp} καί^{c} ὁ^{dnmp} πλούσιος^{anmpn} καί^{c} ὁ^{dnmp} χιλίαρξος^{nnmp} καί^{c} ὁ^{dnmp} δυνατός^{anmpn} καί^{c} πᾶς^{anmsn} δοῦλος^{nnms} καί^{c} πᾶς^{anmsn} ἐλεύθερος^{anmsn} κρύπτω^{viaa3p} ἑαυτοῦ^{rxamp} εἰς^{p} ὁ^{danp} σπήλαιον^{nanp} καί^{c} εἰς^{p} ὁ^{nafp} πέτρα^{nafp} ὁ^{dgnp} ὄρος^{ngnp}. **v.16** καί^{c} λέγω^{vipa3p} ὁ^{ddnp} ὄρος^{ndnp} καί^{c} ὁ^{ddfp} πέτρα^{ndfp} πίπτω^{vdaa2p} ἐπί^{p} ἐγώ$^{rpa-p}$ καί^{c} κρύπτω^{vdaa2p} ἐγώ$^{rpa-p}$ ἀπό^{p} πρόσωπον^{ngns} ὁ^{dgms} κάθημαι^{vppngms} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} καί^{c} ἀπό^{p} ὁ^{dgfs} ὀργή^{ngfs} ὁ^{dgns} ἀρνίον^{ngns}. **v.17** ὅτι^{c} ἔρχομαι^{viaa3s} ὁ^{dnfs} ἡμέρα^{nnfs} ὁ^{dnfs} μέγας^{anfsn} ὁ^{dgfs} ὀργή^{ngfs} αὐτός^{rpgms} καί^{c} τίς^{rqnms} δύναμαι^{vipn3s} ἵστημι^{vnap}. **7. v.1** καί^{c} μετά^{p} οὗτος^{rdanp} ὁράω^{viaa1s} τέσσαρες^{namp} ἄγγελος^{namp} ἵστημι^{vpxaamp} ἐπί^{p} ὁ^{dafp} τέσσαρες^{nafp} γωνία^{nafp} ὁ^{dgfs} γῆ^{ngfs} κρατέω^{vppaamp} ὁ^{damp} τέσσαρες^{namp} ἄνεμος^{namp} ὁ^{dgfs} γῆ^{ngfs} ἵνα^{c} μή^{xo} πνέω^{vspa3s} ἄνεμος^{nnms} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} μήτε^{c} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} μήτε^{c} ἐπί^{p} πᾶς^{aansn} δένδρον^{nans}. **v.2** καί^{c} ὁράω^{viaa1s} ἄλλος^{aamsn} ἄγγελος^{nams} ἀναβαίνω^{vpaaams} ἀπό^{p} ἀνατολή^{ngfs} ἥλιος^{ngms} ἔχω^{vppaams} σφραγίς^{nafs} θεός^{ngms} ζάω^{vppagms} καί^{c} κράζω^{viaa3s} φωνή^{ndfs} μέγας^{adfsn} ὁ^{ddmp} τέσσαρες^{ndmp} ἄγγελος^{ndmp} ὅς^{rrdmp} δίδωμι^{viap3s} αὐτός^{rpdmp} ἀδικέω^{vnaa} ὁ^{dafs} γῆ^{nafs} καί^{c} ὁ^{dafs} θάλασσα^{nafs}. **v.3** λέγω^{vppanms} μή^{xo} ἀδικέω^{vsaa2p} ὁ^{dafs} γῆ^{nafs} μήτε^{c} ὁ^{dafs} θάλασσα^{nafs} μήτε^{c} ὁ^{danp} δένδρον^{nanp} ἄχρι^{p} οὗ^{bo} σφραγίζω^{vspa1p} ὁ^{damp} δοῦλος^{namp} ὁ^{dgms} θεός^{ngms} ἐγώ$^{rpg-p}$ ἐπί^{p} ὁ^{dgnp} μέτωπον^{ngnp} αὐτός^{rpgmp}. **v.4** καί^{c} ἀκούω^{viaa1s} ὁ^{dams} ἀριθμός^{nams} ὁ^{dgmp} σφραγίζω^{vpxpgmp} ἑκατόν^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} πᾶς^{agfsn} φυλή^{ngfs} υἱός^{ngmp} Ἰσραήλ^{tp}. **v.5** ἐκ^{p} φυλή^{ngfs} Ἰούδας^{ngms} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Ῥουβήν^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Γάδ^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp}. **v.6** ἐκ^{p} φυλή^{ngfs} Ἀσήρ^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Νεφθαλίμ^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Μανασσῆ^{ngms} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp}.

χιλιάδες εσφραγισμένοι, ἐκ φυλῆς Ἰσαχάρ ιβ χιλιάδες εσφραγισμένοι, ἐκ φυλῆς Ζαβουλὼν ιβ χιλιάδες ἐσφραγισμένοι ἐκ 8
φυλῆς Ἰωσὴφ ιβ χιλιάδες εσφραγισμένοι, ἐκ φυλῆς Βενιαμὶν
ιβ χιλιάδες εσφραγισμένοι, Μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ ὄχλος 9
πολύς ὃν ἀριθμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους
καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν ἑστῶτες ἐνώπιον τοῦ θρό-
νου καὶ ἐνώπιον τοῦ ἀρνίου περιβεβλημένοι στολὰς λευκάς καὶ
φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν. καὶ κράζοντες φωνῇ μεγάλῃ 10
λέγοντες Ἡ σωτηρία τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τοῦ θεοῦ
ἡμῶν καὶ τῷ ἀρνίῳ. καὶ πάντες οἱ ἄγγελοι ἑστήκεσαν κύκλῳ 11
τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν τεσσάρων ζῴων καὶ
ἔπεσον ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσωπον αὐτῶν καὶ προσε-
κύνησαν τῷ θεῷ. λέγοντες Ἀμήν ἡ εὐλογία καὶ ἡ δόξα καὶ ἡ 12
σοφία καὶ ἡ εὐχαριστία καὶ ἡ τιμὴ καὶ ἡ δύναμις καὶ ἡ ἰσχὺς
τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ ἀπεκρίθη 13
εἷς ἐκ τῶν πρεσβυτέρων λέγων μοι Οὗτοι οἱ περιβεβλημένοι τὰς
στολὰς τὰς λευκὰς τίνες εἰσὶν καὶ πόθεν ἦλθον. καὶ εἴρηκα 14
αὐτῷ Κύριέ σὺ οἶδας καὶ εἶπέν μοι Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ
τῆς θλίψεως τῆς μεγάλης καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν καὶ
ἐλεύκαναν στολὰς αὐτῶν ἐν τῷ αἵματι τοῦ ἀρνίου. διὰ τοῦτό 15
εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ καὶ λατρεύουσιν αὐτῷ ἡ-

---

v.7 ἐκ^{p} φυλή^{ngfs} Συμεών^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Λευί^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Ἰσσαχάρ^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp}. **v.8** ἐκ^{p} φυλή^{ngfs} Ζαβουλών^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Ἰωσήφ^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp} ἐκ^{p} φυλή^{ngfs} Βενιαμίν^{tp} δώδεκα^{tn} χιλιάς^{nnfp} σφραγίζω^{vpxpnmp}. **v.9** μετά^{p} οὗτος^{rdanp} ὁράω^{viaa1s} καί^{c} ἰδού^{vdaa2s} ὄχλος^{nnms} πολύς^{anmsn} ὅς^{rrams} ἀριθμέω^{vnaa} αὐτός^{rpams} οὐδείς^{anfsn} δύναμαι^{viin3s} ἐκ^{p} πᾶς^{agnsn} ἔθνος^{ngns} καί^{c} φυλή^{ngfp} καί^{c} λαός^{ngmp} καί^{c} γλῶσσα^{ngfp} ἵστημι^{vpxanmp} ἐνώπιον^{bo} ὁ^{dgms} θρόνος^{ngms} καί^{c} ἐνώπιον^{bo} ὁ^{dgns} ἀρνίον^{ngns} περιβάλλω^{vpxpnmp} στολή^{nafp} λευκός^{aafpn} καί^{c} φοῖνιξ^{nnmp} ἐν^{p} ὁ^{ddfp} χείρ^{ndfp} αὐτός^{rpgmp}. **v.10** καί^{c} κράζω^{vppanmp} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanmp} ὁ^{dnfs} σωτηρία^{nnfs} ὁ^{ddms} κάθημαι^{vppndms} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} ὁ^{dgms} θεός^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} ὁ^{ddns} ἀρνίον^{ndns}. **v.11** καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} ἄγγελος^{nnmp} ἵστημι^{viya3p} κύκλῳ^{ndms} ὁ^{dgms} θρόνος^{ngms} καί^{c} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} καί^{c} ὁ^{dgnp} τέσσαρες^{ngnp} ζῷον^{ngnp} καί^{c} πίπτω^{viaa3p} ἐνώπιον^{bo} ὁ^{dgms} θρόνος^{ngms} ἐπί^{p} πρόσωπον^{nans} αὐτός^{rpgmp} καί^{c} προσκυνέω^{viaa3p} ὁ^{ddms} θεός^{ndms}. **v.12** λέγω^{vppanmp} ἀμήνth ὁ^{dnfs} εὐλογία^{nnfs} καί^{c} ὁ^{dnfs} δόξα^{nnfs} καί^{c} ὁ^{dnfs} σοφία^{nnfs} καί^{c} ὁ^{dnfs} εὐχαριστία^{nnfs} καί^{c} ὁ^{dnfs} τιμή^{nnfs} καί^{c} ὁ^{dnfs} δύναμις^{nnfs} καί^{c} ὁ^{dnfs} ἰσχύς^{nnfs} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg-p}$ εἷς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ἀμήνth. **v.13** καί^{c} ἀποκρίνομαι^{viad3s} εἷς^{nnms} ἐκ^{p} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} λέγω^{vppanms} ἐγώ$^{rpd-s}$ οὗτος^{rdnmp} ὁ^{dnmp} περιβάλλω^{vpxpnmp} ὁ^{dafp} στολή^{nafp} ὁ^{dafp} λευκός^{aafpn} τίς^{rqnmp} εἰμί^{vipx3p} καί^{c} πόθεν^{bo} ἔρχομαι^{viaa3p}. **v.14** καί^{c} λέγω^{vixa1s} αὐτός^{rpdms} κύριος^{nvms} σύ$^{rpn-s}$ οἶδα^{vixa2s} καί^{c} λέγω^{viaa3s} ἐγώ$^{rpd-s}$ οὗτος^{rdnmp} εἰμί^{vipx3p} ὁ^{dnmp} ἔρχομαι^{vppnnmp} ἐκ^{p} ὁ^{dgfs} θλῖψις^{ngfs} ὁ^{dgfs} μέγας^{agfsn} καί^{c} πλύνω^{viaa3p} ὁ^{dafp} στολή^{nafp} αὐτός^{rpgmp} καί^{c} λευκαίνω^{viaa3p} στολή^{nafp} αὐτός^{rpgmp} ἐν^{p} ὁ^{ddns} αἷμα^{ndns} ὁ^{dgns} ἀρνίον^{ngns}.

μέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ καὶ ὁ καθήμενος ἐπὶ τοῦ
16 θρόνου σκηνώσει ἐπ αὐτούς. οὐ πεινάσουσιν ἔτι οὐδὲ διψή-
σουσιν ἔτι οὐδὲ μὴ πέσῃ ἐπ αὐτοὺς ὁ ἥλιος οὐδὲ πᾶν καῦμα.
17 ὅτι τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ θρόνου ποιμανεῖ αὐτούς καὶ ὁ-
δηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων καὶ ἐξαλείψει ὁ θεὸς
πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

8 Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν ἑβδόμην ἐγένετο σιγὴ ἐν
2 τῷ οὐρανῷ ὡς ἡμιώριον. καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους οἳ ἐνώ-
πιον τοῦ θεοῦ ἑστήκασιν καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.
3 Καὶ ἄλλος ἄγγελος ἦλθεν καὶ ἐστάθη ἐπὶ τὸ θυσιαστήριον ἔ-
χων λιβανωτὸν χρυσοῦν καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ ἵνα
δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον,
4 τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου. καὶ ἀνέβη ὁ καπνὸς τῶν
θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέ-
5 λου ἐνώπιον τοῦ θεοῦ. καὶ εἴληφεν ὁ ἄγγελος τὸ λιβανωτόν
καὶ ἐγέμισεν αὐτὸ ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου καὶ ἔβαλεν
εἰς τὴν γῆν καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ
6 σεισμός. Καὶ οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ σάλπιγγας
7 ἡτοίμασαν ἑαυτοὺς ἵνα σαλπίσωσιν. Καὶ ὁ πρῶτος ἄγγελος
ἐσάλπισεν, καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα αἵματι καὶ
ἐβλήθη εἰς τὴν γῆν καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη καὶ πᾶς

---

v.15 διάp οὗτοςrdans εἰμίvipx3p ἐνώπιονbo ὁdgms θρόνοςngms ὁdgms θεόςngms καίc λατρεύωvipa3p αὐτόςrpdms ἡμέραngfs καίc νύξngfs ἐνp ὁddms ναόςndms αὐτόςrpgms καίc ὁdnms κάθημαιvppnnms ἐπίp ὁdgms θρόνοςngms σκηνόωvifa3s ἐπίp αὐτόςrpamp. **v.16** οὐxo πεινάωvifa3p ἔτιbo οὐδέbo διψάωvifa3p ἔτιbo οὐδέbo μήxo πίπτωvsaa3s ἐπίp αὐτόςrpamp ὁdnms ἥλιοςnnms οὐδέbo πᾶςannsn καῦμαnnns. **v.17** ὅτιc ὁdnns ἀρνίονnnns ὁdnns ἀνάp ὁdgms θρόνοςngms ποιμαίνωvifa3s αὐτόςrpamp καίc ὁδηγέωvifa3s αὐτόςrpamp ἐπίp ζάωvppaafp πηγήnafp ὕδωρngnp καίc ἐξαλείφωvifa3s ὁdnms θεόςnnms πᾶςaansn δάκρυονnans ἀπόp ὁdgmp ὀφθαλμόςngmp αὐτόςrpgmp. **8. v.1** καίc ὅτεbo ἀνοίγωviaa3s ὁdafs σφραγίςnafs ὁdafs ἕβδομοςaafsn γίνομαιviad3s σιγήnnfs ἐνp ὁddms οὐρανόςndms ὡςbo ἡμιώριονnans. **v.2** καίc ὁράωviaa1s ὁdamp ἑπτάtn ἄγγελοςnamp ὅςrrnmp ἐνώπιονbo ὁdgms θεόςngms ἵστημιvixa3p καίc δίδωμιviap3p αὐτόςrpdmp ἑπτάtn σάλπιγξnnfp. **v.3** καίc ἄλλοςanmsn ἄγγελοςnnms ἔρχομαιviaa3s καίc ἵστημιviap3s ἐπίp ὁdans θυσιαστήριονnans ἔχωvppanms λίβανοςaamsn χρυσοῦςaamsn καίc δίδωμιviap3s αὐτόςrpdms θυμίαμαnnnp πολύςannpn ἵναc δίδωμιvsaa3s ὁddfp προσευχήndfp ὁdgmp ἁγιοςagmpn πᾶςagmpn ἐπίp ὁdans θυσιαστήριονnans ὁdans χρυσοῦςaansn ὁdans ἐνώπιονbo ὁdgms θρόνοςngms. **v.4** καίc ἀναβαίνωviaa3s ὁdnms καπνόςnnms ὁdgnp θυμίαμαngnp ὁddfp προσευχήndfp ὁdgmp ἁγιοςagmpn ἐκp χείρngfs ὁdgms ἀγγέλοςngms ἐνώπιονbo ὁdgms θεόςngms. **v.5** καίc λαμβάνωvixa3s ὁdnms ἄγγελοςnnms ὁdans λίβανοςaamsn καίc γεμίζωviaa3s αὐτόςrpans ἐκp ὁdgns πῦρngns ὁdgns θυσιαστήριονngns καίc βάλλωviaa3s εἰςp ὁdafs γῆnafs καίc γίνομαιviad3p φωνήnnfp καίc βροντήnnfp καίc ἀστραπήnnfp καίc σεισμόςnnms. **v.6** καίc ὁdnmp ἑπτάtn ἄγγελοςnnmp ἔχωvppanmp ὁdafp ἑπτάtn σάλπιγξnafp ἑτοιμάζωviaa3p ἑαυτοῦrxamp ἵναc σαλπίζωvsaa3p.

χόρτος χλωρὸς κατεκάη. Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισεν, 8
καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν καὶ
ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα. καὶ ἀπέθανεν τὸ τρίτον 9
τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ τὰ ἔχοντα ψυχάς καὶ τὸ τρί-
τον τῶν πλοίων διεφθάρη. Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισεν, 10
καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπάς
καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς ὑδά-
των. καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται Ἄψινθος καὶ γίνεται 11
τὸ τρίτον εἰς ἄψινθον καὶ πολλοὶ ἀνθρώπων ἀπέθανον ἐκ τῶν
ὑδάτων ὅτι ἐπικράνθησαν. Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισεν, 12
καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου καὶ τὸ τρίτον τῆς σελήνης καὶ
τὸ τρίτον τῶν ἀστέρων ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν καὶ ἡ ἡ-
μέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς καὶ ἡ νὺξ ὁμοίως. Καὶ εἶδον 13
καὶ ἤκουσα ἑνὸς ἀγγέλου πετωμένου ἐν μεσουρανήματι λέγον-
τος φωνῇ μεγάλῃ Οὐαὶ οὐαὶ οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς
ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν
μελλόντων σαλπίζειν.

Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισεν, καὶ εἶδον ἀστέρα ἐκ τοῦ **9**
οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ
φρέατος τῆς ἀβύσσου. καὶ ἤνοιξεν τὸ φρέαρ τῆς ἀβύσσου καὶ 2
ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης καὶ

---

v.7 καί^c ὁ^dnms πρῶτος^anmsn ἄγγελος^nnms σαλπίζω^viaa3s καί^c γίνομαι^viad3s χάλαζα^nnfs καί^c
πῦρ^nnns μίγνυμι^vpxpnnp αἷμα^ndns καί^c βάλλω^viap3s εἰς^p ὁ^dafs γῆ^nafs καί^c ὁ^dnns τρίτος^annsn
ὁ^dgnp δένδρον^ngnp κατακαίω^viap3s καί^c πᾶς^anmsn χόρτος^nnms χλωρός^anmsn κατακαίω^viap3s.
v.8 καί^c ὁ^dnms δεύτερος^anmsn ἄγγελος^nnms σαλπίζω^viaa3s καί^c ὡς^bo ὄρος^nnns μέγας^annsn
πῦρ^ndns καίω^vpppnns βάλλω^viap3s εἰς^p ὁ^dafs θάλασσα^nafs καί^c γίνομαι^viad3s ὁ^dnns τρίτος^annsn
ὁ^dgfs θάλασσα^ngfs αἷμα^nnns. **v.9** καί^c ἀποθνῄσκω^viaa3s ὁ^dnns τρίτος^annsn ὁ^dgnp κτίσμα^ngnp
ὁ^dgnp ἐν^p ὁ^ddfs θάλασσα^ndfs ὁ^dnnp ἔχω^vppannp ψυχή^nafp καί^c ὁ^dnns τρίτος^annsn ὁ^dgnp πλοῖον^ngnp
διαφθείρω^viap3s. **v.10** καί^c ὁ^dnms τρίτος^anmsn ἄγγελος^nnms σαλπίζω^viaa3s καί^c πίπτω^viaa3s
ἐκ^p ὁ^dgms οὐρανός^ngms ἀστήρ^nnms μέγας^anmsn καίω^vpppnms ὡς^bo λαμπάς^nnfs καί^c πίπτω^viaa3s
ἐπί^p ὁ^dans τρίτος^aansn ὁ^dgmp ποταμός^ngmp καί^c ἐπί^p ὁ^dafp πηγή^nafp ὕδωρ^ngnp. **v.11** καί^c
ὁ^dnns ὄνομα^nnns ὁ^dgms ἀστήρ^ngms λέγω^vipp3s Ἄψινθος^nnfs καί^c γίνομαι^vipn3s ὁ^dnns τρίτος^annsn
εἰς^p ἄψινθος^nafs καί^c πολύς^anmpn ἄνθρωπος^ngmp ἀποθνῄσκω^viaa3p ἐκ^p ὁ^dgnp ὕδωρ^ngnp ὅτι^c
πικραίνω^viap3p. **v.12** καί^c ὁ^dnms τέταρτος^anmsn ἄγγελος^nnms σαλπίζω^viaa3s καί^c πλήσσω^viap3s
ὁ^dnns τρίτος^annsn ὁ^dgms ἥλιος^ngms καί^c ὁ^dnns τρίτος^annsn ὁ^dgfs σελήνη^ngfs καί^c ὁ^dnns τρίτος^annsn
ὁ^dgmp ἀστήρ^ngmp ἵνα^c σκοτίζω^vsap3s ὁ^dnns τρίτος^annsn αὐτός^rpgmp καί^c ὁ^dnfs ἡμέρα^nnfs μή^xo
φαίνω^vspa3s ὁ^dans τρίτος^aansn αὐτός^rpgfs καί^c ὁ^dnfs νύξ^nnfs ὁμοίως^bo. **v.13** καί^c ὁράω^viaa1s καί^c
ἀκούω^viaa1s εἷς^ngms ἄγγελος^ngms πέτομαι^vppngms ἐν^p μεσουράνημα^ndns λέγω^vppagms φωνή^ndfs
μέγας^adfsn οὐαί^i οὐαί^i οὐαί^i ὁ^ddmp κατοικέω^vppadmp ἐπί^p ὁ^dgfs γῆ^ngfs ἐκ^p ὁ^dgmp λοιπός^agmpn
φωνή^ngmp ὁ^dgfs σάλπιγξ^ngfs ὁ^dgmp τρεῖς^ngmp ἄγγελος^ngmp ὁ^dgmp μέλλω^vppagmp σαλπίζω^vnpa.
9. v.1 καί^c ὁ^dnms πέμπτος^anmsn ἄγγελος^nnms σαλπίζω^viaa3s καί^c ὁράω^viaa1s ἀστήρ^nams ἐκ^p
ὁ^dgms οὐρανός^ngms πίπτω^vpxaams εἰς^p ὁ^dafs γῆ^nafs καί^c δίδωμι^viap3s αὐτός^rpdms ὁ^dnfs κλείς^nnfs
ὁ^dgns φρέαρ^ngns ὁ^dgfs ἄβυσσος^ngfs.

3 ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. καὶ
ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν καὶ ἐδόθη αὐταῖς
4 ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς. καὶ ἐρρέθη
αὐταῖς ἵνα μὴ αδικήσωσιν τὸν χόρτον τῆς γῆς οὐδὲ πᾶν χλω-
ρὸν οὐδὲ πᾶν δένδρον εἰ μὴ τοὺς ἀνθρώπους μόνους οἵτινες
οὐκ ἔχουσιν τὴν σφραγῖδα τοῦ θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.
5 καὶ ἐδόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτούς ἀλλ ἵνα βασα-
νισθῶσιν μῆνας πέντε καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς
6 σκορπίου ὅταν παίσῃ ἄνθρωπον. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις
ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον καὶ οὐχ εὑρήσουσιν αὐ-
τόν καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν καὶ φεύξεται ὁ θάνατος ἀπ
7 αὐτῶν. Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοιμα-
σμένοις εἰς πόλεμον καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι
ὅμοιοι χρυσῷ καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων.
8 καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν καὶ οἱ ὀδόντες αὐτῶν ὡς
9 λεόντων ἦσαν. καὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς καὶ
ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν
10 τρεχόντων εἰς πόλεμον. καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις
καὶ κέντρα ἦν ἐν ταῖς οὐραῖς αὐτῶν καὶ ἡ ἐξουσία αὐτῶν ἀδι-
11 κῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε. καὶ ἔχουσιν ἐφ' αὐτῶν
βασιλέα τὸν ἄγγελον τῆς ἀβύσσου ὄνομα αὐτῷ Ἑβραϊστὶ Ἀβαδ-

---

v.2 καί^{c} ἀνοίγω^{viaa3s} ὁ^{dans} φρέαρ^{nans} ὁ^{dgfs} ἄβυσσος^{ngfs} καί^{c} ἀναβαίνω^{viaa3s} καπνός^{nnms} ἐκ^{p} ὁ^{dgns} φρέαρ^{ngns} ὡς^{bo} καπνός^{nnms} κάμινος^{ngfs} μέγας^{agfsn} καί^{c} σκοτίζω^{viap3s} ὁ^{dnms} ἥλιος^{nnms} καί^{c} ὁ^{dnms} ἀήρ^{nnms} ἐκ^{p} ὁ^{dgms} καπνός^{ngms} ὁ^{dgns} φρέαρ^{ngns}. **v.3** καί^{c} ἐκ^{p} ὁ^{dgms} καπνός^{ngms} ἐξέρχομαι^{viaa3p} ἀκρίς^{nnfp} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} καί^{c} δίδωμι^{viap3s} αὐτός^{rpdfp} ἐξουσία^{nnfs} ὡς^{bo} ἔχω^{vipa3p} ἐξουσία^{nafs} ὁ^{dnmp} σκορπίος^{nnmp} ὁ^{dgfs} γῆ^{ngfs}. **v.4** καί^{c} λέγω^{viap3s} αὐτός^{rpdfp} ἵνα^{c} μή^{xo} ἀδικέω^{vsaa3p} ὁ^{dams} χόρτος^{nams} ὁ^{dgfs} γῆ^{ngfs} οὐδέ^{bo} πᾶς^{aansn} χλωρός^{aansn} οὐδέ^{bo} πᾶς^{aansn} δένδρον^{nans} εἰ^{qo} μή^{xo} ὁ^{damp} ἄνθρωπος^{namp} μόνος^{aampn} ὅστις^{rrnmp} οὐ^{xo} ἔχω^{vipa3p} ὁ^{dafs} σφραγίς^{nafs} ὁ^{dgms} θεός^{ngms} ἐπί^{p} ὁ^{dgnp} μέτωπον^{ngnp} αὐτός^{rpgmp}. **v.5** καί^{c} δίδωμι^{viap3s} αὐτός^{rpdfp} ἵνα^{c} μή^{xo} ἀποκτείνω^{vspa3p} αὐτός^{rpamp} ἀλλά^{c} ἵνα^{c} βασανίζω^{vsap3p} μήν^{namp} πέντε^{tn} καί^{c} ὁ^{dnms} βασανισμός^{nnms} αὐτός^{rpgfp} ὡς^{bo} βασανισμός^{nnms} σκορπίος^{ngms} ὅταν^{c} παίω^{vsaa3s} ἄνθρωπος^{nams}. **v.6** καί^{c} ἐν^{p} ὁ^{ddfp} ἡμέρα^{ndfp} ἐκεῖνος^{rddfp} ζητέω^{vifa3p} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} ὁ^{dams} θάνατος^{nams} καί^{c} οὐ^{xo} εὑρίσκω^{vifa3p} αὐτός^{rpams} καί^{c} ἐπιθυμέω^{vifa3p} ἀποθνῄσκω^{vnaa} καί^{c} φεύγω^{vifd3s} ὁ^{dnms} θάνατος^{nnms} ἀπό^{p} αὐτός^{rpgmp}. **v.7** καί^{c} ὁ^{dnnp} ὁμοίωμα^{nnnp} ὁ^{dgfp} ἀκρίς^{ngfp} ὅμοιος^{annpn} ἵππος^{ndmp} ἑτοιμάζω^{vpxpdmp} εἰς^{p} πόλεμος^{nams} καί^{c} ἐπί^{p} ὁ^{dafp} κεφαλή^{nafp} αὐτός^{rpgfp} ὡς^{bo} στέφανος^{nnmp} ὅμοιος^{anmpn} χρυσός^{ndms} καί^{c} ὁ^{dnnp} πρόσωπον^{nnnp} αὐτός^{rpgfp} ὡς^{bo} πρόσωπον^{nnnp} ἄνθρωπος^{ngmp}. **v.8** καί^{c} ἔχω^{viia3p} θρίξ^{nnafp} ὡς^{bo} θρίξ^{nnafp} γυνή^{ngfp} καί^{c} ὁ^{dnmp} ὀδούς^{nnmp} αὐτός^{rpgfp} ὡς^{bo} λέων^{ngmp} εἰμί^{viix3p}. **v.9** καί^{c} ἔχω^{viia3p} θώραξ^{nnamp} ὡς^{bo} θώραξ^{nnamp} σιδηροῦς^{aampn} καί^{c} ὁ^{dnfs} φωνή^{nnfs} ὁ^{dgfp} πτέρυξ^{ngfp} αὐτός^{rpgfp} ὡς^{bo} φωνή^{nnfs} ἅρμα^{ngnp} ἵππος^{ngmp} πολύς^{agmpn} τρέχω^{vppagmp} εἰς^{p} πόλεμος^{nams}. **v.10** καί^{c} ἔχω^{vipa3p} οὐρά^{nafp} ὅμοιος^{aafpn} σκορπίος^{ndmp} καί^{c} κέντρον^{nanp} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddfp} οὐρά^{ndfp} αὐτός^{rpgfp} καί^{c} ὁ^{dnfs} ἐξουσία^{nnfs} αὐτός^{rpgfp} ἀδικέω^{vnaa} ὁ^{damp} ἄνθρωπος^{namp} μήν^{namp} πέντε^{tn}.

δὼν καὶ ἐν τῇ Ἑλληνικῇ ὄνομα ἔχει Ἀπολλύων. Ἡ οὐαὶ ἡ 12
μία ἀπῆλθεν, ἰδοὺ ἔρχονται ἔτι δύο οὐαὶ μετὰ ταῦτα. Καὶ ὁ 13
ἕκτος ἄγγελος ἐσάλπισεν, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσ-
σάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ
θεοῦ. λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ ὃς εἶχε τὴν σάλπιγγα Λῦσον 14
τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ
μεγάλῳ Εὐφράτῃ. καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοι- 15
μασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτόν ἵνα
ἀποκτείνωσιν τὸ τρίτον τῶν ἀνθρώπων. καὶ ὁ ἀριθμὸς στρα- 16
τευμάτων τοῦ ἱππικοῦ δύο μυριάδες μυριάδων καὶ ἤκουσα τὸν
ἀριθμὸν αὐτῶν. καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει 17
καὶ τοὺς καθημένους ἐπ αὐτῶν ἔχοντας θώρακας πυρίνους καὶ
ὑακινθίνους καὶ θειώδεις καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφα-
λαὶ λεόντων καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ
καπνὸς καὶ θεῖον. ὑπὸ τῶν τριῶν τούτων ἀπεκτάνθησαν τὸ 18
τρίτον τῶν ἀνθρώπων ἐκ τοῦ πυρὸς καὶ ἐκ τοῦ καπνοῦ καὶ ἐκ
τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν. αἱ γὰρ 19
ἐξουσίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσιν αἱ γὰρ οὐραὶ αὐτῶν
ὅμοιαι ὄφεσιν ἔχουσαι κεφαλάς καὶ ἐν αὐταῖς ἀδικοῦσιν. Καὶ 20
οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς
ταύταις οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν ἵνα μὴ
προσκυνήσωσιν τὰ δαιμόνια καὶ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀρ-

---

v.11 καί^c ἔχω^vipa3p ἐπί^p αὐτός^rxp βασιλεύς^nams ὁ^dams ἄγγελος^nams ὁ^dgfs ἄβυσσος^ngfs ὄνομα^nnns αὐτός^rpdms Ἑβραϊστί^bo Ἀβαδδών^tp καί^c ἐν^p ὁ^ddfs Ἑλληνικός^adfsn ὄνομα^nnns ἔχω^vipa3s Ἀπολλύων^nnms. **v.12** ὁ^dnfs οὐαί^to ὁ^dnfs εἷς^nnfs ἀπέρχομαι^viaa3s ἰδού^vdaa2s ἔρχομαι^vipn3p ἔτι^bo δύο^tn οὐαί^to μετά^p οὗτος^rdanp. **v.13** καί^c ὁ^dnms ἕκτος^anmsn ἄγγελος^nnms σαλπίζω^viaa3s καί^c ἀκούω^viaa1s φωνή^nafs εἷς^nafs ἐκ^p ὁ^dgnp τέσσαρες^ngnp κέρας^ngnp ὁ^dgns θυσιαστήριον^ngns ὁ^dgns χρυσοῦς^agnsn ὁ^dgns ἐνώπιον^bo ὁ^dgms θεός^ngms. **v.14** λέγω^vppaafs ὁ^ddms ἕκτος^admsn ἄγγελος^ndms ὅς^rrnms ἔχω^viia3s ὁ^dafs σάλπιγξ^nafs λύω^vdaa2s ὁ^damp τέσσαρες^namp ἄγγελος^namp ὁ^damp δέω^vpxpamp ἐπί^p ὁ^ddms ποταμός^ndms ὁ^ddms μέγας^admsn Εὐφράτης^ndms. **v.15** καί^c λύω^viap3p ὁ^dnmp τέσσαρες^nnmp ἄγγελος^nnmp ὁ^dnmp ἑτοιμάζω^vpxpnmp εἰς^p ὁ^dafs ὥρα^nafs καί^c ἡμέρα^nafs καί^c μήν^nams καί^c ἐνιαυτός^nams ἵνα^c ἀποκτείνω^vspa3p ὁ^dans τρίτος^aansn ὁ^dgmp ἄνθρωπος^ngmp. **v.16** καί^c ὁ^dnms ἀριθμός^nnms στράτευμα^ngnp ὁ^dgns ἱππικός^agnsn δύο^tn μυριάς^nnmp μυριάς^ngmp καί^c ἀκούω^viaa1s ὁ^dams ἀριθμός^nams αὐτός^rpgnp. **v.17** καί^c οὕτω^bo ὁράω^viaa1s ὁ^damp ἵππος^namp ἐν^p ὁ^ddfs ὅρασις^ndfs καί^c ὁ^damp κάθημαι^vppnamp ἐπί^p αὐτός^rpgmp ἔχω^vppaamp θώραξ^namp πύρινος^aampn καί^c ὑακίνθινος^aampn καί^c θειώδης^aampn καί^c ὁ^dnfp κεφαλή^nnfp ὁ^dgmp ἵππος^ngmp ὡς^bo κεφαλή^nnfp λέων^ngmp καί^c ἐκ^p ὁ^dgnp στόμα^ngnp αὐτός^rpgmp ἐκπορεύομαι^vipn3s πῦρ^nnns καί^c καπνός^nnms καί^c θεῖον^nnns. **v.18** ὑπό^p ὁ^dgmp τρεῖς^ngmp οὗτος^rdgmp ἀποκτείνω^viap3p ὁ^dnns τρίτος^annsn ὁ^dgmp ἄνθρωπος^ngmp ἐκ^p ὁ^dgns πῦρ^ngns καί^c ἐκ^p ὁ^dgms καπνός^ngms καί^c ἐκ^p ὁ^dgns θεῖον^ngns ὁ^dgns ἐκπορεύομαι^vppngns ἐκ^p ὁ^dgnp στόμα^ngnp αὐτός^rpgmp. **v.19** ὁ^dnfp γάρ^c ἐξουσία^nnfp αὐτός^rpgmp ἐν^p ὁ^ddns στόμα^ndns αὐτός^rpgmp εἰμί^vipx3p ὁ^dnfp γάρ^c οὐρά^nnfp αὐτός^rpgmp ὅμοιος^anfpn ὄφις^ndmp ἔχω^vppanfp κεφαλή^nafp καί^c ἐν^p αὐτός^rpdfp ἀδικέω^vipa3p.

γυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα ἃ οὔτε βλέπειν
21 δύναται οὔτε ἀκούειν οὔτε περιπατεῖν. καὶ οὐ μετενόησαν ἐκ
τῶν φόνων αὐτῶν οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν οὔτε ἐκ τῆς
πορνείας αὐτῶν οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

10 Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐ-
ρανοῦ περιβεβλημένον νεφέλην καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς καὶ
τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι
2 πυρός. καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἀνεῳγμένον,
καὶ ἔθηκεν τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τὴν θάλασσαν, τὸν
3 δὲ εὐώνυμον ἐπὶ τὴν γῆν, καὶ ἔκραξεν φωνῇ μεγάλῃ ὥσπερ
λέων μυκᾶται καὶ ὅτε ἔκραξεν ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς
4 ἑαυτῶν φωνάς. καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταί τὰς φωνὰς
ἑαυτῶν, ἔμελλον γράφειν καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ
λέγουσαν μοι, Σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί καὶ μὴ
5 ταὐτὰ γράψῃς. Καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θα-
λάσσης καὶ ἐπὶ τῆς γῆς ἦρεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανὸν.
6 καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ὃς ἔκτισεν
τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ καὶ
7 τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ ὅτι χρόνος οὐκ ἔσται ἔτι, ἀλλὰ
ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου ὅταν μέλλῃ
σαλπίζειν καὶ τελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ ὡς εὐηγγέλισεν

---

v.20 καί^{c} ὁ^{dnmp} λοιπός^{anmpn} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} ὅς^{rrnmp} οὐ^{xo} ἀποκτείνω^{viap3p} ἐν^{p} ὁ^{ddfp} πληγῇ^{ndfp} οὗτος^{rddfp} οὔτε^{c} μετανοέω^{viaa3p} ἐκ^{p} ὁ^{dgnp} ἔργον^{ngnp} ὁ^{dgfp} χείρ^{ngfp} αὐτός^{rpgmp} ἵνα^{c} μή^{xo} προσκυνέω^{vsaa3p} ὁ^{danp} δαιμόνιον^{nanp} καί^{c} εἴδωλον^{nanp} ὁ^{danp} χρυσοῦς^{aanpn} καί^{c} ὁ^{danp} ἀργυροῦς^{aanpn} καί^{c} ὁ^{danp} χαλκοῦς^{aanpn} καί^{c} ὁ^{danp} λίθινος^{aanpn} καί^{c} ὁ^{danp} ξύλινος^{aanpn} ὅς^{rranp} οὔτε^{c} βλέπω^{vnpa} δύναμαι^{vipn3s} οὔτε^{c} ἀκούω^{vnpa} οὔτε^{c} περιπατέω^{vnpa}. **v.21** καί^{c} οὐ^{xo} μετανοέω^{viaa3p} ἐκ^{p} ὁ^{dgmp} φόνος^{ngmp} αὐτός^{rpgmp} οὔτε^{c} ἐκ^{p} ὁ^{dgfp} φαρμακεία^{ngfp} αὐτός^{rpgmp} οὔτε^{c} ἐκ^{p} ὁ^{dgfs} πορνεία^{ngfs} αὐτός^{rpgmp} οὔτε^{c} ἐκ^{p} ὁ^{dgnp} κλέμμα^{ngnp} αὐτός^{rpgmp}. **10. v.1** καί^{c} ὁράω^{viaa1s} ἄλλος^{aamsn} ἄγγελος^{nams} ἰσχυρός^{aamsn} καταβαίνω^{vppaams} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} περιβάλλω^{vpxpams} νεφέλη^{nafs} καί^{c} ἶρις^{nnfs} ἐπί^{p} ὁ^{dgfs} κεφαλή^{ngfs} καί^{c} ὁ^{dnns} πρόσωπον^{nnns} αὐτός^{rpgms} ὡς^{bo} ὁ^{dnms} ἥλιος^{nnms} καί^{c} ὁ^{dnmp} πούς^{nnmp} αὐτός^{rpgms} ὡς^{bo} στῦλος^{nnmp} πῦρ^{ngns}. **v.2** καί^{c} ἔχω^{viia3s} ἐν^{p} ὁ^{ddfs} χείρ^{ndfs} αὐτός^{rpgms} βιβλαρίδιον^{nans} ἀνοίγω^{vpxpans} καί^{c} τίθημι^{viaa3s} ὁ^{dams} πούς^{nams} αὐτός^{rpgms} ὁ^{dams} δεξιός^{aamsn} ἐπί^{p} ὁ^{dafs} θάλασσα^{nafs} ὁ^{dams} δέ^{c} εὐώνυμος^{aamsn} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs}. **v.3** καί^{c} κράζω^{viaa3s} φωνή^{ndfs} μέγας^{adfsn} ὥσπερ^{bo} λέων^{nnms} μυκάομαι^{vipn3s} καί^{c} ὅτε^{bo} κράζω^{viaa3s} λαλέω^{viaa3p} ὁ^{dnfp} ἑπτά^{tn} βροντή^{nnfp} ὁ^{dafp} ἑαυτοῦ^{rxgmp} φωνή^{nafp}. **v.4** καί^{c} ὅτε^{bo} λαλέω^{viaa3p} ὁ^{dnfp} ἑπτά^{tn} βροντή^{nnfp} ὁ^{dafp} φωνή^{nafp} ἑαυτοῦ^{rxgmp} μέλλω^{viia1s} γράφω^{vnpa} καί^{c} ἀκούω^{viaa1s} φωνή^{nafs} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} λέγω^{vppaafs} ἐγώ$^{rpd-s}$ σφραγίζω^{vdaa2s} ὅς^{rranp} λαλέω^{viaa3p} ὁ^{dnfp} ἑπτά^{tn} βροντή^{nnfp} καί^{c} μή^{xo} οὗτος^{rdanp} γράφω^{vsaa2s}. **v.5** καί^{c} ὁ^{dnms} ἄγγελος^{nnms} ὅς^{rrams} ὁράω^{viaa1s} ἵστημι^{vpxaams} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} καί^{c} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} αἴρω^{viaa3s} ὁ^{dafs} χείρ^{nafs} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams}. **v.6** καί^{c} ὀμνύω^{viaa3s} ἐν^{p} ὁ^{ddms} ζάω^{vppadms} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ὅς^{rrnms} κτίζω^{viaa3s} ὁ^{dams} οὐρανός^{nams} καί^{c} ὁ^{danp} ἐν^{p} αὐτός^{rpdms} καί^{c} ὁ^{dafs} γῆ^{nafs} καί^{c} ὁ^{danp} ἐν^{p} αὐτός^{rpdfs} καί^{c} ὁ^{dafs} θάλασσα^{nafs} καί^{c} ὁ^{danp} ἐν^{p} αὐτός^{rpdfs} ὅτι^{c} χρόνος^{nnms} οὐ^{xo} εἰμί^{vifx3s} ἔτι^{bo}.

τοῖς ἑαυτοῦ δούλοις τοῖς προφήταις. Καὶ ἡ φωνὴ ἣν ἤκουσα 8
ἐκ τοῦ οὐρανοῦ πάλιν λαλοῦσα μετ ἐμοῦ καὶ λέγουσα, Ὕπαγε
λάβε τὸ βιβλαρίδιον τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ ἀγγέλου τοῦ ἑ-
στῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς. καὶ ἀπῆλθον πρὸς 9
τὸν ἄγγελον λέγων αὐτῷ Δός μοι τὸ βιβλαρίδιον καὶ λέγει μοι
Λάβε καὶ κατάφαγε αὐτό καὶ πικρανεῖ σου τὴν κοιλίαν ἀλλ ἐν
τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι. καὶ ἔλαβον τὸ βιβλαρί- 10
διον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου καὶ κατέφαγον αὐτό καὶ ἦν ἐν
τῷ στόματί μου ὡς μέλι γλυκύ καὶ ὅτε ἔφαγον αὐτό ἐπικράνθη
ἡ κοιλία μου. καὶ λέγει μοι Δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ 11
λαοῖς καὶ ἔθνεσιν καὶ γλώσσαις καὶ βασιλεῦσιν πολλοῖς.

Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ λέγων Ἔγειραι, καὶ **11**
μέτρησον τὸν ναὸν τοῦ θεοῦ καὶ τὸ θυσιαστήριον καὶ τοὺς προσ-
κυνοῦντας ἐν αὐτῷ. καὶ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκ- 2
βαλε ἔξω, καὶ μὴ αὐτὴν μετρήσῃς ὅτι ἐδόθη τοῖς ἔθνεσιν καὶ τὴν
πόλιν τὴν ἁγίαν πατήσουσιν μῆνας τεσσαράκοντα δύο. καὶ 3
δώσω τοῖς δυσὶν μάρτυσίν μου καὶ προφητεύσουσιν ἡμέρας χι-
λίας διακοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους. οὗτοί εἰσιν 4
αἱ δύο ἐλαῖαι καὶ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ Θεοῦ τῆς γῆς ἑ-
στῶσαι. καὶ εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι πῦρ ἐκπορεύεται 5
ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν, καὶ

---

v.7 ἀλλάᶜ ἐνᵖ ὁᵈᵈᶠᵖ ἡμέραⁿᵈᶠᵖ ὁᵈᵍᶠˢ φωνήⁿᵍᶠˢ ὁᵈᵍᵐˢ ἕβδομοςᵃᵍᵐˢⁿ ἄγγελοςⁿᵍᵐˢ ὅτανᶜ μέλλωᵛˢᵖᵃ³ˢ σαλπίζωᵛⁿᵖᵃ καίᶜ τελέωᵛˢᵃᵖ³ˢ ὁᵈⁿⁿˢ μυστήριονⁿⁿⁿˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ ὡςᵇᵒ εὐαγγελίζωᵛⁱᵃᵃ³ˢ ὁᵈᵈᵐᵖ ἑαυτοῦʳˣᵍᵐˢ δοῦλοςⁿᵈᵐᵖ ὁᵈᵈᵐᵖ προφήτηςⁿᵈᵐᵖ. **v.8** καίᶜ ὁᵈⁿᶠˢ φωνήⁿⁿᶠˢ ὅςʳʳᵃᶠˢ ἀκούωᵛⁱᵃᵃ¹ˢ ἐκᵖ ὁᵈᵍᵐˢ οὐρανόςⁿᵍᵐˢ πάλινᵇᵒ λαλέωᵛᵖᵖᵃⁿᶠˢ μετάᵖ ἐγώʳᵖᵍ⁻ˢ καίᶜ λέγωᵛᵖᵖᵃⁿᶠˢ ὑπάγωᵛᵈᵖᵃ²ˢ λαμβάνωᵛᵈᵃᵃ²ˢ ὁᵈᵃⁿˢ βιβλαρίδιονⁿᵃⁿˢ ὁᵈᵃⁿˢ ἀνοίγωᵛᵖˣᵖᵃⁿˢ ἐνᵖ ὁᵈᵈᶠˢ χείρⁿᵈᶠˢ ἄγγελοςⁿᵍᵐˢ ὁᵈᵍᵐˢ ἵστημιᵛᵖˣᵃᵍᵐˢ ἐπίᵖ ὁᵈᵍᶠˢ θάλασσαⁿᵍᶠˢ καίᶜ ἐπίᵖ ὁᵈᵍᶠˢ γῆⁿᵍᶠˢ. **v.9** καίᶜ ἀπέρχομαιᵛⁱᵃᵃ¹ˢ πρόςᵖ ὁᵈᵃᵐˢ ἄγγελοςⁿᵃᵐˢ λέγωᵛᵖᵖᵃⁿᵐˢ αὐτόςʳᵖᵈᵐˢ δίδωμιᵛᵈᵃᵃ²ˢ ἐγώʳᵖᵈ⁻ˢ ὁᵈⁿˢ βιβλαρίδιονⁿᵃⁿˢ καίᶜ λέγωᵛⁱᵖᵃ³ˢ ἐγώʳᵖᵈ⁻ˢ λαμβάνωᵛᵈᵃᵃ²ˢ καίᶜ κατεσθίωᵛᵈᵃᵃ²ˢ αὐτόςʳᵖᵃⁿˢ καίᶜ πικραίνωᵛⁱᶠᵃ³ˢ σύʳᵖᵍ⁻ˢ ὁᵈᵃᶠˢ κοιλίαⁿᵃᶠˢ ἀλλάᶜ ἐνᵖ ὁᵈⁿⁿˢ στόμαⁿᵈⁿˢ σύʳᵖᵍ⁻ˢ εἰμίᵛⁱᶠˣ³ˢ γλυκύςᵃⁿⁿˢⁿ ὡςᵇᵒ μέλιⁿⁿⁿˢ. **v.10** καίᶜ λαμβάνωᵛⁱᵃᵃ¹ˢ ὁᵈⁿˢ βιβλαρίδιονⁿᵃⁿˢ ἐκᵖ ὁᵈᵍᶠˢ χείρⁿᵍᶠˢ ὁᵈᵍᵐˢ ἄγγελοςⁿᵍᵐˢ καίᶜ κατεσθίωᵛⁱᵃᵃ¹ˢ αὐτόςʳᵖᵃⁿˢ καίᶜ εἰμίᵛⁱⁱˣ³ˢ ἐνᵖ ὁᵈⁿⁿˢ στόμαⁿᵈⁿˢ ἐγώʳᵖᵍ⁻ˢ ὡςᵇᵒ μέλιⁿⁿⁿˢ γλυκύςᵃⁿⁿˢⁿ καίᶜ ὅτεᵇᵒ ἐσθίωᵛⁱᵃᵃ¹ˢ αὐτόςʳᵖᵃⁿˢ πικραίνωᵛⁱᵃᵖ³ˢ ὁᵈⁿᶠˢ κοιλίαⁿⁿᶠˢ ἐγώʳᵖᵍ⁻ˢ. **v.11** καίᶜ λέγωᵛⁱᵖᵃ³ˢ ἐγώʳᵖᵈ⁻ˢ δεῖᵛⁱᵖᵠ³ˢ σύʳᵖᵃ⁻ˢ πάλινᵇᵒ προφητεύωᵛⁿᵃᵃ ἐπίᵖ λαόςⁿᵈᵐᵖ καίᶜ ἔθνοςⁿᵈⁿᵖ καίᶜ γλῶσσαⁿᵈᶠᵖ καίᶜ βασιλεύςⁿᵈᵐᵖ πολύςᵃᵈᵐᵖⁿ. **11. v.1** καίᶜ δίδωμιᵛⁱᵃᵖ³ˢ ἐγώʳᵖᵈ⁻ˢ κάλαμοςⁿⁿᵐˢ ὅμοιοςᵃⁿᵐˢⁿ ῥάβδοςⁿᵈᶠˢ λέγωᵛᵖᵖᵃⁿᵐˢ ἐγείρωᵛᵈᵃᵐ²ˢ καίᶜ μετρέωᵛᵈᵃᵃ²ˢ ὁᵈᵃᵐˢ ναόςⁿᵃᵐˢ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ καίᶜ ὁᵈⁿˢ θυσιαστήριονⁿᵃⁿˢ καίᶜ ὁᵈᵐᵖ προσκυνέωᵛᵖᵖᵃᵃᵐᵖ ἐνᵖ αὐτόςʳᵖᵈᵐˢ. **v.2** καίᶜ ὁᵈᵃᶠˢ αὐλήⁿᵃᶠˢ ὁᵈᵃᶠˢ ἔσωθενᵇᵒ ὁᵈᵍᵐˢ ναόςⁿᵍᵐˢ ἐκβάλλωᵛᵈᵃᵃ²ˢ ἔξωᵇᵒ καίᶜ μήˣᵒ αὐτόςʳᵖᵃᶠˢ μετρέωᵛˢᵃᵃ²ˢ ὅτιᶜ δίδωμιᵛⁱᵃᵖ³ˢ ὁᵈᵈⁿᵖ ἔθνοςⁿᵈⁿᵖ καίᶜ ὁᵈᵃᶠˢ πόλιςⁿᵃᶠˢ ὁᵈᵃᶠˢ ἅγιοςᵃᵃᶠˢⁿ πατέωᵛⁱᶠᵃ³ᵖ μήνⁿᵃᵐᵖ τεσσεράκοντα[tn] δύο[tn]. **v.3** καίᶜ δίδωμιᵛⁱᶠᵃ¹ˢ ὁᵈᵈᵐᵖ δύοⁿᵈᵐᵖ μάρτυςⁿᵈᵐᵖ ἐγώʳᵖᵍ⁻ˢ καίᶜ προφητεύωᵛⁱᶠᵃ³ᵖ ἡμέραⁿᵃᶠᵖ χίλιοιⁿᵃᶠᵖ διακόσιοιⁿᵃᶠᵖ ἑξήκοντα[tn] περιβάλλωᵛᵖˣᵖⁿᵐᵖ σάκκοςⁿᵃᵐᵖ. **v.4** οὗτοςʳᵈⁿᵐᵖ εἰμίᵛⁱᵖˣ³ᵖ ὁᵈⁿᶠᵖ δύο[tn] ἐλαίαⁿⁿᶠᵖ καίᶜ δύο[tn] λυχνίαⁿⁿᶠᵖ ὁᵈⁿᶠᵖ ἐνώπιονᵇᵒ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ ὁᵈᵍᶠˢ γῆⁿᵍᶠˢ ἵστημιᵛᵖˣᵃⁿᶠᵖ.

εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι οὕτως δεῖ αὐτὸν ἀποκτανθῆναι.
6 οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν ἵνα μὴ βρέχῃ ὑε-
τὸς ἐν ἡμέραις αὐτῶν τῆς προφητείας καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ
τῶν ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα καὶ πατάξαι τὴν γῆν πάσῃ
7 πληγῇ ὁσάκις ἐὰν θελήσωσιν. καὶ ὅταν τελέσωσιν τὴν μαρ-
τυρίαν αὐτῶν τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει
πόλεμον μετ αὐτῶν καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτούς.
8 καὶ τὰ πτῶματα αὐτῶν ἐπὶ τῆς πλατείας πόλεως τῆς μεγάλης
ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος ὅπου καὶ ὁ
9 κύριος ἡμῶν ἐσταυρώθη. καὶ βλέψουσιν ἐκ τῶν λαῶν καὶ φυ-
λῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὰ πτώματα αὐτῶν ἡμέρας τρεῖς
καὶ ἥμισυ καὶ τὰ πτῶματα αὐτῶν οὐκ ἀφήσουσιν τεθῆναι εἰς
10 μνῆματα. καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χάρουσιν ἐπ αὐτοῖς
καὶ εὐφρανθήσονται, καὶ δῶρα πέμψουσιν ἀλλήλοις ὅτι οὗτοι
οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.
11 καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ
εἰσῆλθεν ἐ'π αὐτούς καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν καὶ φό-
12 βος μέγας ἔπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς, καὶ ἤκουσαν
φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν αὐτοῖς Ἀνάβητε ὧδε
καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ καὶ ἐθεώρησαν αὐ-
13 τοὺς οἱ ἐχθροὶ αὐτῶν. Καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς

---

v.5 καί^{c} εἰ^{qo} τι-σρινμσ αὐτός^{rpamp} θέλω^{vspa3s} ἀδικέω^{vnaa} πῦρ^{nnns} ἐκπορεύομαι^{vipn3s} ἐκ^{p} ὁ^{dgns} στόμα^{ngns} αὐτός^{rpgmp} καί^{c} κατεσθίω^{vipa3s} ὁ^{damp} ἐχθρός^{aampn} αὐτός^{rpgmp} καί^{c} εἰ^{qo} τι-σρινμσ αὐτός^{rpamp} θέλω^{vspa3s} ἀδικέω^{vnaa} οὕτω^{bo} δεῖ^{vipq3s} αὐτός^{rpams} ἀποκτείνω^{vnap}. **v.6** οὗτος^{rdnmp} ἔχω^{vipa3p} ἐξουσία^{nafs} κλείω^{vnaa} ὁ^{dams} οὐρανός^{nams} ἵνα^{c} μή^{xo} βρέχω^{vspa3s} ὑετός^{nnms} ἐν^{p} ἡμέρα^{ndfp} αὐτός^{rpgmp} ὁ^{dgfs} προφητεία^{ngfs} καί^{c} ἐξουσία^{nafs} ἔχω^{vipa3p} ἐπί^{p} ὁ^{dgnp} ὕδωρ^{ngnp} στρέφω^{vnpa} αὐτός^{rpanp} εἰς^{p} αἷμα^{nans} καί^{c} πατάσσω^{vnaa} ὁ^{dafs} γῆ^{nafs} πᾶς^{adfsn} πληγή^{ndfs} ὁσάκις^{bo} ἐάν^{qo} θέλω^{vsaa3p}. **v.7** καί^{c} ὅταν^{c} τελέω^{vsaa3p} ὁ^{dafs} μαρτυρία^{nafs} αὐτός^{rpgmp} ὁ^{dnns} θηρίον^{nnns} ὁ^{dnns} ἀναβαίνω^{vppanns} ἐκ^{p} ὁ^{dgfs} ἄβυσσος^{ngfs} ποιέω^{vifa3s} πόλεμος^{nams} μετά^{p} αὐτός^{rpgmp} καί^{c} νικάω^{vifa3s} αὐτός^{rpamp} καί^{c} ἀποκτείνω^{vifa3s} αὐτός^{rpamp}. **v.8** καί^{c} ὁ^{dnnp} πτῶμα^{nnnp} αὐτός^{rpgmp} ἐπί^{p} ὁ^{dgfs} πλατύς^{ngfs} πόλις^{ngfs} ὁ^{dgfs} μέγας^{agfsn} ὅστις^{rrnfs} καλέω^{vipp3s} πνευματικῶς^{bo} Σόδομα^{nnnp} καί^{c} Αἴγυπτος^{nnfs} ὅπου^{bo} καί^{c} ὁ^{dnms} κύριος^{nnms} ἐγώ$^{rpg-p}$ σταυρόω^{viap3s}. **v.9** καί^{c} βλέπω^{vifa3p} ἐκ^{p} ὁ^{dgmp} λαός^{ngmp} καί^{c} φυλή^{ngfp} καί^{c} γλῶσσα^{ngfp} καί^{c} ἔθνος^{ngnp} ὁ^{danp} πτῶμα^{nanp} αὐτός^{rpgmp} ἡμέρα^{nafp} τρεῖς^{nafp} καί^{c} ἥμισυς^{aansn} καί^{c} ὁ^{danp} πτῶμα^{nanp} αὐτός^{rpgmp} οὐ^{xo} ἀφίημι^{vifa3p} τίθημι^{vnap} εἰς^{p} μνῆμα^{nanp}. **v.10** καί^{c} ὁ^{dnmp} κατοικέω^{vppanmp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} χαίρω^{vifa3p} ἐπί^{p} αὐτός^{rpdmp} καί^{c} εὐφραίνω^{vifp3p} καί^{c} δῶρον^{nanp} πέμπω^{vifa3p} ἀλλήλων^{redmp} ὅτι^{c} οὗτος^{rdnmp} ὁ^{dnmp} δύο^{tn} προφήτης^{nnmp} βασανίζω^{viaa3p} ὁ^{damp} κατοικέω^{vppaamp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.11** καί^{c} μετά^{p} ὁ^{dafp} τρεῖς^{nafp} ἡμέρα^{nafp} καί^{c} ἥμισυς^{aansn} πνεῦμα^{nnns} ζωή^{ngfs} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms} εἰσέρχομαι^{viaa3s} ἐπί^{p} αὐτός^{rpamp} καί^{c} ἵστημι^{viaa3p} ἐπί^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgmp} καί^{c} φόβος^{nnms} μέγας^{anmsn} πίπτω^{viaa3s} ἐπί^{p} ὁ^{damp} θεωρέω^{vppaamp} αὐτός^{rpamp}. **v.12** καί^{c} ἀκούω^{viaa3p} φωνή^{nafs} μέγας^{aafsn} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} λέγω^{vppaafs} αὐτός^{rpdmp} ἀναβαίνω^{vdaa2p} ὧδε^{bo} καί^{c} ἀναβαίνω^{viaa3p} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} ἐν^{p} ὁ^{ddfs} νεφέλη^{ndfs} καί^{c} θεωρέω^{viaa3p} αὐτός^{rpamp} ὁ^{dnmp} ἐχθρός^{anmpn} αὐτός^{rpgmp}.

μέγας καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσεν καὶ ἀπεκτάνθησαν
ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά καὶ οἱ λοιποὶ
ἔμφοβοι ἐγένοντο καὶ ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ. 14 Ἡ
οὐαὶ ἡ δευτέρα ἀπῆλθεν, ἰδοὺ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ.
Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισεν, καὶ ἐγένοντο φωναὶ μεγάλαι 15
ἐν τῷ οὐρανῷ λέγουσαι, ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ
κυρίου ἡμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ καὶ βασιλεύσει εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. καὶ οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι οἱ 16
ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν ἔπεσαν
ἐπὶ τὰ πρόσωπα αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ. λέγοντες 17
Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ὁ παντοκράτωρ ὁ ὢν καὶ ὁ
ἦν καὶ ὁ ἐρχόμενος, ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγά-
λην καὶ ἐβασίλευσας. καὶ τὰ ἔθνη ὠργίσθησαν καὶ ἦλθεν ἡ 18
ὀργή σου καὶ ὁ καιρὸς τῶν νεκρῶν κριθῆναι καὶ δοῦναι τὸν μι-
σθὸν τοῖς δούλοις σου τοῖς προφήταις καὶ τοῖς ἁγίοις καὶ τοῖς
